**ο Χορός στην Θεία Λειτουργία στις εξης εορτές:** Ψυχοσάββατον, Σάββατον του Λαζάρου, ΤΗι ΑΓΙΑι ΚΑΙ ΜΕΓΑΛΗι ΠΕΜΠΤΗι (πρωΐ), ΤΩι ΑΓΙΩι ΚΑΙ ΜΕΓΑΛΩι ΣΑΒΒΑΤΩι (πρωΐ), Άγιος Γεώργιος με Δευτέρα Διακαινησίμου, Παρασκευή Διακαινησίμου, Πέμπτη της Αναλήψεως του Σωτηρος, Δευτέρα του Αγίου Πνεύματος, 20-7, 25-7, 26-7, 27-7, 8-9, 28-10, 8-11, 9-11, 6-12, 9-12, 24-12, 5-1

**[Κυριακή λέμε τον Απόστολο του αγίου, όταν ειναι επισήμως εορταζόμενος:** ***Σεπ***. 23-9, 24-9, ***Οκ***. 23-10, 26-10, 28-10, ***Νοέμ***. 1-11, 8-11, 11-11, 12-11, 13-11, 14-11, 25-11, ***Δεκ***. 4-12, 5-12, 6-12, 9-12, 12-12, 15-12, 27-12, ***Ιαν***. 11-1, 17-1, 18-1, 20-1, 25-1, 27-1, 30-1, ***Φεβ***. 1-2, 10-2, 24-2, ***Μάρ***. 9-3, ***Απρ***. 23-4, 25-4, ***Μάϊ***. 2-5, 8-5, 21-5, 25-5, ***Ιούλ***. 1-7, 2-7, 5-7, 7-7, 11-7, 20-7, 25-7, 26-7, 27-7, ***Αύγ***. 23-8, 31-8, ***(συνολικά 47 εορτές).]***

***Θεία Λειτουργία (ο Χορός).* Ι.*** *Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς…/* Ἀμήν./ Κύριε ἐλέησον (**12ἤ13**). /Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς. / Σοὶ, Κύριε./Αμήν. ***<u>στίχος α΄. …</u>***Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς**(3).**/.Κύριε, ελέησον (**2**). **/**Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς. / Σοι, Κύριε./ Ἀμήν. ***Στίχ. α'.*** …<u>Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν (ἢ ὁ ἐν Ἁγίοις θαυμαστός,</u> ή…), ψάλλοντάς σοι˙ Ἀλληλούϊα **(3)**. Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι. Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. **Ὁ Μονογενὴς Υἱὸς** καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων καὶ καταδεξάμενος διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, εἷς ὢν τῆς Ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς./ Κύριε ἐλέησον (**2**). **/** Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς. / Σοὶ, Κύριε. / Ἀμήν. ***<u>Στίχ. α΄. …</u>Ἀπολυτίκιον*** / ***(ἐὰν εἶναι ἕνας ἱερεύς:) ὁ α΄χορός: <u>Δεῦτε προσκυνήσωμεν</u>*** ***…ΑΠΟΛΥΤΙΚΙΑ***.*(ἕνας πρακτικός τρόπος νά γνωρίζουμε πότε δέν τελοῦνται μνημόσυνα εἶναι ὅταν δέν προβλέπεται νά ψαλεῖ στή λειτουργία τό ἀπολυτίκιο τοῦ ναοῦ. Αὐτές οἱ ἡμέρες εἶναι οἱ Δεσποτικές καί Θεομητορικές ἑορτές.)*

**…………………………………………………………………**

**Τ<u>Α 8 ΑΝΑΣΤΑΣΙΜΑ ΑΠΟΛΥΤΙΚΙΑ,</u>**

***Ἦχος α'.*** Τοῦ λίθου σφραγισθέντος ὑπὸ τῶν Ἰουδαίων καὶ στρατιωτῶν φυλασσόντων τὸ ἄχραντόν σου Σῶμα, ἀνέστης τριήμερος, Σωτήρ, δωρούμενος τῷ κόσμῳ τὴν ζωήν· διὰ τοῦτο αἱ δυνάμεις τῶν οὐρανῶν ἐβόων σοί, Ζωοδότα· Δόξα τῇ Ἀναστάσει σου, Χριστέ, δόξα τῇ βασιλείᾳ σου, δόξα τῇ οἰκονομίᾳ σου, μόνε φιλάνθρωπε.

***Ἦχος β'.*** Οτε κατῆλθες πρὸς τὸν θάνατον, ἡ Ζωὴ ἡ ἀθάνατος, τότε τὸν Ἅιδην ἐνέκρωσας,τῇ ἀστραπῇ τῆς Θεότητος· ὅτε δὲ καὶ τοὺς τεθνεῶτας ἐκ τῶν καταχθονίων ἀνέστησας, πᾶσαι αἱ Δυνάμεις τῶν ἐπουρανίων ἐκραύγαζον· Ζωοδότα Χριστέ, ὁ Θεὸς ἡμῶν, δόξα σοι.

***Ἦχος γ'.*** Εὐφραινέσθω τὰ οὐράνια, ἀγαλλιάσθω τὰ ἐπίγεια, ὅτι ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ ὁ Κύριος· ἐπάτησε τῷ θανάτῳ τὸν θάνατον˙ πρωτότοκος τῶν νεκρῶν ἐγένετο˙ ἐκ κοιλίας Ἅιδου ἐῤῥύσατο ἡμᾶς, καὶ παρέσχε τῷ κόσμῳ τὸ μέγα ἔλεος.

***Ἦχος δ'.*** Τὸ φαιδρὸν τῆς Ἀναστάσεως κήρυγμα, ἐκ τοῦ Ἀγγέλου μαθοῦσαι αἱ τοῦ Κυρίου Μαθήτριαι, καὶ τὴν προγονικὴν ἀπόφασιν ἀπορρίψασαι, τοῖς Ἀποστόλοις καυχώμεναι ἔλεγον· Ἐσκύλευται ὁ θάνατος, ἠγέρθη Χριστὸς ὁ Θεός, δωρούμενος τῷ κόσμῳ τὸ μέγα ἔλεος.

***Ἦχος πλ. α'.*** Τὸν συνάναρχον Λόγον Πατρὶ καὶ Πνεύματι, τὸν ἐκ Παρθένου τεχθέντα είς σωτηρίαν ἡμῶν, ἀνυμνήσωμεν, πιστοὶ καὶ προσκυνήσωμεν· ὅτι ηὐδόκησε, σαρκὶ ἀνελθεῖν ἐν τῷ σταυρῷ, καὶ θάνατον ὑπομεῖναι, καὶ ἐγεῖραι τοὺς τεθνεῶτας, ἐν τῇ ἐνδόξῳ Ἀναστάσει αὐτοῦ.

***Ἦχος πλ. β'.*** Αγγελικαὶ Δυνάμεις ἐπὶ τὸ μνῆμά σου, καὶ οἱ φυλάσσοντες, ἀπενεκρώθησαν· καὶ ἵστατο Μαρία ἐν τῷ τάφῳ, ζητοῦσα τὸ ἄχραντόν σου σῶμα. Ἐσκύλευσας τὸν Ἅιδην, μὴ πειρασθεὶς ὑπ' αὐτοῦ· ὑπήντησας τῇ Παρθένῳ, δωρούμενος τὴν ζωήν. Ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν, Κύριε δόξα σοι.

***Ἦχος βαρύς***. Κατέλυσας τῷ Σταυρῷ σου τὸν θάνατον· ἠνέῳξας τῷ Ληστῇ τὸν Παράδεισον· τῶν Μυροφόρων τὸν θρῆνον μετέβαλες˙ καὶ τοῖς σοῖς Ἀποστόλοις κηρύττειν ἐπέταξας˙ ὅτι ἀνέστης, Χριστὲ ὁ Θεός, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.

***Ἦχος πλ. δ'.*** Εξ ὕψους κατῆλθες ὁ εὔσπλαγχνος, ταφὴν κατεδέξω τριήμερον, ἵνα ἡμᾶς ἐλευθερώσῃς τῶν παθῶν. Ἡ ζωὴ καὶ ἡ ἀνάστασις ἡμῶν, Κύριε, δόξα σοι.

…………………………………………………………………

***[25-7, 9-12, Ἦχος δ', Ταχὺ προκατάλαβε,*** *Ζωὴν τὴν κυήσασαν, ἐκυοφόρησας, ἁγνὴν Θεομήτορα, θεόφρον Ἄννα˙ διὸ πρὸς λῆξιν οὐράνιον, ἔνθα εὐφραινομένων, κατοικία ἐν δόξῃ, χαίρουσα νῦν μετέστης, τοῖς τιμῶσί σε πόθῳ, πταισμάτων αἰτουμένη, ἱλασμὸν ἀειμακάριστε.**ΗΧΟΣ Γ΄. ΘΕΙΑΣ ΠΙΣΤΕΩΣ.** Γόνος γέγονας Γάνου καὶ Χώρας, μέγα καύχημα νήσου Καλύμνου, παμμακάριστε Σάββα, πατήρ ἡμῶν˙ καὶ γὰρ ὁδόν διελθών τῆς ἀσκήσεως, τοῦ ἀκροτάτου τέλους ἐπέτυχες. Διὸ πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν].*

……………………………………………………..

***ΚΟΝΤΑΚΙΟΝ/*** Κύριε ἐλέησον./Ἀμήν. Ἅγιος ὁ Θεός, Ἅγιος ἰσχυρός, Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.***(τρίς)***. Δόξα Πατρί καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι. Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς./(*νε*) Δύναμις. (***αργά***)Ἅγιος ὁ Θεὸς - Ἅγιος ἰσχυρός - Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς. /**ΑΠΟΣΤΟΛΟΣ/**

………………………………………………………………………

**Τὰ Προκείμενα τοῦ Ἀποστόλου των Κυριακων. *Προκείμενον*.** ***Ἦχος α',*** Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ᾿ ἡμᾶς. ***Στίχ.*** Ἀγαλλιᾶσθε, δίκαιοι, ἐν Κυρίῳ.

***Προκείμενον***. ***Ἦχος β',*** Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος. ***Στίχ.*** Παιδεύων ἐπαίδευσέ με ὁ Κύριος.

***Προκείμενον***. ***Ἦχος γ',*** Ψάλατε τῷ Θεῷ ἡμῶν, ψάλατε. ***Στίχ.*** Πάντα ἔθνη κροτήσατε χεῖρας.

***Προκείμενον***. ***Ἦχος δ',*** Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας. ***Στίχ.*** Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

***Προκείμενον***. ***Ἦχος πλ. α΄,*** Σύ, Κύριε, φυλάξαις ἡμᾶς καὶ διατηρήσαις ἡμᾶς. ***Στίχ.*** Σῶσόν με, Κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος.

***Προκείμενον***. ***Ἦχος πλ. β΄,*** Σῶσον, Κύριε, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου. ***Στίχ.*** Πρός σέ, Κύριε, κεκράξομαι, ὁ Θεός μου.

***Προκείμενον***. ***Ἦχος βαρύς,*** Κύριος ἰσχὺν τῷ λαῷ αὐτοῦ δώσει.

***Στίχ.*** Ἐνέγκατε τῷ Κυρίῳ υἱοὶ Θεοῦ, ἐνέγκατε τῷ Κυρίῳ δόξαν καὶ τιμήν.

***Προκείμενον***. ***Ἦχος πλ, δ',*** Εὔξασθε καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ἡμῶν. ***Στίχ.*** Γνωστός ἐν τῇ Ἰουδαίᾳ ὁ Θεός, ἐν τῷ Ἰσραὴλ μέγα τὸ ὄνομα αὐτοῦ.

…………………………………………………………………

Ἀλληλούια. Ἀλληλούια. Ἀλληλούια. / Καὶ τῷ πνεύματί σου. / Δόξα σοι, Κύριε, δόξα σοι. / ***ΕΥΑΓΓΕΛΙΟΝ/*** Δόξα σοι, Κύριε, δόξα σοι.

**…………………………………………………………………………**

[***Πότε λέμε*** "Εις πολλά έτη Δέσποτα" ***στην Θεία Λειτουργία: μετά την ανάγνωση του Ευαγγελίου σύντομα και μετά το τέλος του χερουβικου ύμνου, όταν ευλογει με το σταυρό.*** **ΕΝ ΑΡΧΙΕΡΑΤΙΚΗ Θ. ΛΕΙΤΟΥΡΓΙΑ.** <u>Τρισάγιον.        </u>**Πρωτοψάλτης**: Άγιος ο Θεός…***Λαμπαδάριος***: Άγιος ο Θεός…***Ιερό Βημα***: Άγιος ο Θεός…***Πρωτοψάλτης***: Άγιος ο Θεός …***Ιερό Βημα***: Άγιος ο Θεός …***(σύνολο πέντε). Λαμπαδάριος***: Δόξα Πατρί…***Πρωτοψάλτης***: Και νυν…***Λαμπαδάριος:*** Άγιος Αθάνατος… ***Ιερό Βημα***: <u>Άγιος ο Θεός.</u> ***(άρχεται το δύναμις του βήματος). Αρχιερεύς***: Κύριε, Κύριε επίβλεψον…..κτλ.. ***Πρωτοψάλτης***: εις πολλά έτη Δέσποτα Ή ΚΥΡΙΕ, ΕΛΕΗΣΟΝ. ***Ιερό Βημα***: <u>Άγιος Ισχυρός.</u> ***Αρχιερεύς*** :Κύριε, Κύριε… ***Λαμπαδάριος***: εις πολλά έτη…Ή ΚΥΡΙΕ, ΕΛΕΗΣΟΝ. ***Ιερό Βημα***: <u>Άγιος Αθάνατος.</u> ***Αρχιερεύς***: Επίβλεψον…***Πρωτοψάλτης***: εις πολλά έτη...Ή ΚΥΡΙΕ, ΕΛΕΗΣΟΝ. ***Ιερό Βημα*** : <u>ελέησον ημας.</u> ***Διάκονος***: ΔΥΝΑΜΙΣ…***Και οι χοροί ψάλλουν εναλλάξ το*** Δύναμις***. Ιερό Βημα***: Κύριε, σωσον τους ευσεβεις **(*τρις*)** …***σε ηχο τρίτο και ανά μία οι χοροί. Ιερό Βημα***: και επάκουσον…..(***κλείνει***).

***Φήμη Αρχιερέως εκ τρίτου...(συνήθως προηγειται εμμελής απαγγελία υπό του διακόνου και επανάληψη από Ιερό Βήμα, πρωτοψάλτη και Λαμπαδάριο).*** [Βαρθολομαίου του Παναγιωτάτου και Οικουμενικου Πατριάρχου, πολλά τα έτη./ Παϊσίου του Σεβασμιωτάτου και Θεοπροβλήτου Μητροπολίτου της Αγιωτάτης Μητροπόλεως Λέρου, Καλύμνου και Αστυπαλαίας, Υπερτίμου και Εξάρχου των Σποράδων νήσων, ημων δε πατρός και ποιμενάρχου,

πολλά τα έτη] ***Κλείνει ο κύκλος με το Αποστολικό ανάγνωσμα. Σημ: Μετά τη Ανάγνωση του Ευαγγελίου ψάλλονται το*** Δόξα σοι Κύριε **….** ***Και εν συνεχεία το*** εις πολλά έτη….

*Ὅσοι είς Χριστὸν/ ἐβαπτίσθητε, /Χριστὸν ἐνεδύσασθε, /Ἀλληλούϊα.*

*Τὸν Σταυρόν Σου / προσκυνοῦμεν Δέσποτα,/ καὶ τὴν Ἁγίαν Σου Ἀνάστασιν /δοξάζομεν.]*

……………………………………………………………………………………

[ Κύριε ἐλέησον **(γ΄) (8) *(τὴν τελευταίαν ἅπαξ)*** / Ἀμήν. / Κύριε ἐλέησον.**(7) /** Σοὶ, Κύριε. / Ἀμήν. / Κύριε ἐλέησον.**(2)/** Ἀμήν./Κύριε ἐλέησον **(2).]** Ἀμήν. Οἱ τὰ Χερουβεὶμ μυστικῶς εἰκονίζοντες, καὶ τῇ ζωοποιῷ Τριάδι τὸν τρισάγιον ὕμνον προσᾴδοντες, πᾶσαν τὴν βιοτικὴν ἀποθώμεθα μέριμναν, - ὡς τὸν Βασιλέα τῶν ὅλων ὑποδεξόμενοι**.** / Ἀμήν. Ταῖς ἀγγελικαῖς ἀοράτως δορυφορούμενον τάξεσιν. Ἀλληλούϊα **(γ΄). /** Κύριε ἐλέησον.**(5) /** Παράσχου Κύριε**(6)./**Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς./Σοὶ, Κύριε./Ἀμήν./Καὶ τῷ πνεύματί σου./Πατέρα, Υἱὸν καὶ Ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον καὶ ἀχώριστον **(*στὰ συλλείτουργα:*** Ἀγαπήσω σε, Κύριε, ἡ ἰσχύς μου, Κύριος στερέωμά μου, καὶ καταφυγή μου καὶ ῥύστης μου). / Πιστεύω είς ἕνα Θεόν, Πατέρα, Παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων. Καὶ είς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων· φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι' οὗ τὰ πάντα ἐγένετο. Τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ Πνεύματος Ἁγίου καὶ Μαρίας τῆς Παρθένου καὶ ἐνανθρωπήσαντα.Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου, καὶ παθόντα καὶ ταφέντα. Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρα κατὰ τὰς Γραφάς. Καὶ ἀνελθόντα είς τοὺς οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός. Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. Καὶ είς τὸ Πνεῦμα τὸ Ἅγιον, τὸ κύριον, τὸ ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν. Είς μίαν, Ἁγίαν, Καθολικὴν καὶ Ἀποστολικὴν Ἐκκλησίαν.Ὁμολογῶ ἓν βάπτισμα είς ἄφεσιν ἁμαρτιῶν. Προσδοκῶ ἀνάστασιν νεκρῶν.Καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν. **/** Ἔλεον εἰρήνης, θυσίαν αἰνέσεως./Καὶ μετὰ τοῦ πνεύματός σου. / Ἔχομεν πρὸς τὸν Κύριον. / Ἄξιον καὶ δίκαιον. / Ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαώθ· πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου, ὡσαννὰ ἐν τοῖς ὑψίστοις. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Ὡσαννὰ (ὁ) ἐν τοῖς ὑψίστοις. / Ἀμήν. / Ἀμήν. / Σὲ ὑμνοῦμεν, σὲ εὐλογοῦμεν, σοὶ

εὐχαριστοῦμεν, Κύριε, καὶ δεόμεθά σου, ὁ Θεὸς ἡμῶν. / Ἄξιόν ἐστιν ὡς ἀληθῶς μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ· τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν. / Κύριε ἐλέησον./Καὶ πάντων καὶ πασῶν. / Ἀμήν. / Και μετά του πνεύματος σου. / [*Κύριε ἐλέησον* ***(5).*** *Παράσχου Κύριε* ***(6)]*** **ἢ Κύριε ἐλέησον(3)** / Σοί, Κύριε. / Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς· ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον. Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. /Ἀμήν. / Καὶ τῷ πνεύματί σου. / Σοί, Κύριε. / Ἀμήν. / Εἷς Ἅγιος, εἷς Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν. ***Κοινωνικόν:*** Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν. Ἀλληλούϊα**.** ***(ΜΝΗΜΟΣΥΝΟΝ***)/ Τοῦ δείπνου σου τοῦ μυστικοῦ, σήμερον Υἱὲ Θεοῦ κοινωνόν με παράλαβε· οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου τὸ μυστήριον εἴπω· οὐ φίλημά σοι δώσω, καθάπερ ὁ Ἰούδας· ἀλλ' ὡς ὁ λῃστὴς ὁμολογῶ σοι· Μνήσθητί μου Κύριε ἐν τῇ βασιλείᾳ σου./ Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρομεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες, αὕτη γὰρ ἡμᾶς ἔσωσεν./ Ἀμήν. /Κύριε ἐλέησον **(2). /** Σοί, Κύριε. / Ἀμήν. / Κύριε ἐλέησον. / Ἀμήν. Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.**(*τρίς*). / (*Μετά πνευμάτων δικαίων...*)** /Κύριε ἐλέησον. / Ἀμήν. / Δόξα Πατρί… Καὶ νῦν… Κύριε ἐλέησον ***(γ΄),*** Πάτερ ἅγιε, εὐλόγησον. / Τὸν εὐλογοῦντα καὶ ἁγιάζοντα ἡμᾶς, Κύριε, φύλαττε εἰς πολλὰ ἔτη. **[«Τον Δεσπότην και Αρχιερέα ημών, Κύριε φύλαττε, εις πολλά έτη Δέσποτα, εις πολλά έτη Δέσποτα, εις πολλά έτη Δέσποτα»]** / Ἀμήν.

**Ἀκολουθία τοῦ ΝΕΚΡΩΣΙΜΟΥ ΤΡΙΣΑΓΙΟΥ (και Μνημόσυνο την Κυριακή)*...Ἀναγνώστης·*** Ἀμήν**. Τρισάγιον.** Δόξα… Καὶ νῦν… Παναγία Τριάς… Κύριε, ἐλέησο**ν *(γ΄).*** Δόξα… Καὶ νῦν… Πάτερ ἡμῶν***... Ι.*** Ὅτι Σοῦ ἐστιν**…]** ***Καὶ ψάλλουσι τὰ Τροπάρια ταῦτα. Ἦχος δ΄.*****(ΣΤΗ Θ. ΛΕΙΤΟΥΡΓΙΑ,** *ΕΙΗ ΤΟ ΟΝΟΜΑ ΚΥΡΙΟΥ…***)** Μετὰ πνευμάτων δικαίων τετελειωμένων, τὴν ψυχὴν (τὰς ψυχὰς) [τοῦ δούλου, τῆς δούλης, τῶν δούλων] σου, Σῶτερ, ἀνάπαυσον, φυλάττων αὐτὴν (αὐτὰς) εἰς τὴν μακαρίαν ζωὴν τὴν παρὰ σοί, φιλάνθρωπε. Εἰς τὴν κατάπαυσίν σου, Κύριε, ὅπου πάντες οἱ Ἅγιοί σου ἀναπαύονται, ἀνάπαυσον καὶ τὴν ψυχήν (τὰς ψυχὰς) [τοῦ δούλου, τῆς δούλης, τῶν δούλων] σου, ὅτι μόνος ὑπάρχεις ἀθάνατος. Δόξα…Σὺ εἶ ὁ Θεὸς ἡμῶν, ὁ καταβὰς εἰς

Ἅδην, καὶ τὰς ὀδύνας λύσας τῶν πεπεδημένων· αὐτὸς καὶ τὴν ψυχὴν (τὰς ψυχὰς) [τοῦ δούλου, τῆς δούλης, τῶν δούλων] σου, Σῶτερ, ἀνάπαυσον. Καὶ νῦν… *Θεοτοκίον.* Ἡ μόνη ἁγνὴ καὶ ἄχραντος Παρθένος, ἡ Θεὸν ἀσπόρως κυήσασα, πρέσβευε τοῦ σωθῆναι τὴν ψυχὴν (τὰς ψυχὰς) [τοῦ δούλου, τῆς δούλης, τῶν δούλων] σου.

***……………………………………………………………***

***στην Διακαινήσιμο εβδομάδα αντί των ανωτέρω:*** Χριστός ανέστη εκ νεκρων, θανάτω θάνατον πατήσας, και τοις εν τοις μνήμασι, ζωήν χαρισάμενος. ***(3)*** Αναστάς ο Ιησους από του τάφου καθώς προειπεν, έδωκεν ημιν την αιώνιον ζωήν και μέγα έλεος.

***…………………………………………………………***

***Ἱερεύς (Δ)·*** Ἐλέησον ἡμᾶς ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον. ***Ἀναγνώστης·*** Κύριε, ἐλέησον…. **(ΘΥΜΙΑΖΩΝ ΚΑΙ ΨΑΛΤΑ)** Αἰωνία ἡ μνήμη, Αἰωνία ἡ μνήμη, Αἰωνία αὐτοῦ, [αὐτῆς, αὐτῶν] ἡ μνήμη ***(γ΄)….***

**ΑΡΤΟΚΛΑΣΙΑ.** ***Ι.*** Ἐλέησον ἡμᾶς, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός Σου· δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον. **(Χ.:** ΚΥΡΙΕ, ΕΛΕΗΣΟΝ **(γ΄)…..*Ὁ Χορός·*** Ἀμήν**.** ***Ὁ Ἱερεύς·*+** Εἰρήνη πᾶσι. ***Ὁ Χορός·*** Καὶ τῷ πνεύματί σου**.** ***Ὁ Διάκονος·*** Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν. ***Ὁ Χορός·*** Σοί, Κύριε. ***Ὁ Ἱερεύς·*** Δέσποτα, πολυέλεε… ***Ὁ Χορός·*** Ἀμήν. ***Ὁ Ἱερεὺς θυμιᾷ καὶ ὁ Χορὸς ψάλλει· Ἦχος πλ. α'.*** Θεοτόκε Παρθένε, χαῖρε Κεχαριτωμένη Μαρία ὁ Κύριος μετὰ σοῦ· εὐλογημένη Σὺ ἐν γυναιξί, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου, ὅτι Σωτῆρα ἔτεκες τῶν ψυχῶν ἡμῶν**.** ***Ἐν τῇ Διακαινησίμῳ ἑβδομάδι, ἀντὶ τοῦ*** <Θεοτόκε Παρθένε>, ***ψάλλεται τό·*** <Χριστὸς ἀνέστη>**.** ***Ὁ Διάκονος·*** Τοῦ Κυρίου δεηθῶμεν. ***Ὁ Χορός·*** Κύριε, ἐλέησον. ***Ὁ Ἱερεύς(λαβὼν ἕναν ἄρτον καὶ εὐλογῶν αὐτόν)·*** **+** Κύριε, Ἰησοῦ Χριστέ,…. ***Ὁ Χορός·*** Ἀμήν**.** ***(ἀσπασμὸς ἄρτου) Ὁ Ἱερεύς· Ἦχος βαρύς.*** Πλούσιοι ἐπτώχευσαν καὶ ἐπείνασαν· οἱ δὲ ἐκζητοῦντες τὸν Κύριον, οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ. ***Οἱ δὲ Χοροὶ ἐπαναλαμβάνουσι τὸ αὐτὸ δίς.] ΑΠΟΣΤΙΧΑ (Ή ΑΠΟΛΥΤΙΚΙΟΝ ΚΑΙ ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ).***

****ό,τι ειναι υπογραμμισμένο αλλάζει ενδεχομένως από Λειτουργία σε Λειτουργία. χρειάζεται ακόμη μία σελίδα κάθε φορά - που θα έχει τον Απόστολο, τα τροπάρια, το Κοντάκιο κλπ.- και η οποία πρέπει να εκτυπώνεται μαζί με αυτήν την σελίδα, βλέπε εδω: https://www.youtube.com/user/KERMENI (βλέπε στις πληροφορίες), και εδω: https://apologhtika.blogspot.com/2023/10/4.html, έχοντας την παρουσα φωτοτυπία όλοι γίνονται πρακτικοί ψάλτες!!***

**Προκείμενα τοῦ Ἀποστόλου τῶν Καθημερινῶν.**

**Ψαλλόμενα καθ' ὅλην τὴν ἑβδομάδα ἐν αἷς ἡμέραις οὐκ ἔστιν ἑορτή**

**Δευτέρᾳ**

Τῶν Ἀσωμάτων, Προκείμενον. Ἦχος δ'

Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.

Στίχ. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον. Κύριε ὁ Θεός μου, ἐμεγαλύνθης σφόδρα.

**Τρίτῃ**

Τοῦ Προδρόμου, Προκείμενον. Ἦχος βαρύς

Εὐφρανθήσεται δίκαιος ἐν Κυρίῳ.

Στίχ. Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου.

**Τετάρτῃ**

Τῆς Θεοτόκου, Προκείμενον. Ἦχος γ'

Μεγαλύνει ἡ ψυχή μου τὸν Κύριον καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρί μου.

Στίχ. Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ.

**Πέμπτῃ**

Τῶν Ἁγίων Ἀποστόλων, Προκείμενον. Ἦχος πλ. δ΄

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν.

Στίχ. Οἱ οὐρανοί διηγοῦνται δόξαν Θεοῦ.

**Παρασκευῇ**

Σταυρώσιμον, Προκείμενον. Ἦχος βαρύς

Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν

Στίχ. Ὁ Κύριος ἐβασίλευσεν, ὀργιζέσθωσαν λαοί.

**Σαββάτῳ**

Νεκρώσιμον, Προκείμενον. Ἦχος πλ. β΄

Εὐφράνθητε ἐπὶ Κύριον καὶ ἀγαλλιᾶσθε, δίκαιοι.

Στίχ. Μακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι.

**Τῶν Καθημερινῶν, Κοινωνικόν τῆς ἡμέρας**

**Δευτέρᾳ**

Τῶν Ἀσωμάτων
Ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.Ἀλληλούϊα
**Τρίτῃ**
Τοῦ Προδρόμου
Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος.Ἀλληλούϊα
**Τετάρτῃ**
Τῆς Θεοτόκου
Ποτήριον σωτηρίου λήψομαι καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι.Ἀλληλούϊα
**Πέμπτῃ**
Τῶν Ἁγίων Ἀποστόλων
Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.Ἀλληλούϊα
**Παρασκευῇ**
Σταυρώσιμον
Σωτηρίαν εἰργάσω ἐν μέσῳ τῆς γῆς.Ἀλληλούϊα
ἤ
Ἐσημειώθη ἐφ᾽ ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου. Ἀλληλούϊα.
**Σαββάτῳ**
Νεκρώσιμον
Ἀγαλλιᾶσθε , δίκαιοι, ἐν Κυρίῳ· τοῖς εὐθέσι πρέπει αἴνεσις.Ἀλληλούϊα.
ἤ
Μακάριοι ὃν ἐξελέξω καὶ προσελάβου, Κύριε· καὶ τὸ μνημόσυνόν αὐτῶν εἰς γενεὰν καὶ γενεάν.Ἀλληλούϊα.

**Ψυχοσάββατον, *ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ,ΑΝΤΙΦΩΝΑ, Ἀντίφωνον α',Ἦχος β' ὁ α' χορὸς***
***Στίχ. α'.*** **Ἀ**γαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.
***ὁ β'χορὸςΣτίχ. β'.*** **Τ**οῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...
***ὁ α' χορὸς Στίχ. γ'.*** **Ὅ**τι εὐθὺς Κύριος ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...
Δόξα Πατρὶ... Καὶ νῦν...**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...
***Ἀντίφωνον β,'ὁ β'χορὸςΣτίχ. α'.***
**Δ**εῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἀλαλάξωμεν τῷ Θεῷ τῷ Σωτῆρι ἡμῶν.
Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι, Ἀλληλούϊα.

***ὁ α′ χορὸς, Στίχ. β'.*** **Π**ροφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν αὐτῷ, ὅτι Θεὸς μέγας, Κύριος καὶ Βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν.
**Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός…
***ὁ β′χορὸς, Στίχ. γ'.*** Ὅτι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς, καὶ τὰ ὕψη τῶν ὀρέων αὐτοῦ εἰσιν, ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα, καὶ αὐτὸς ἐποίησεν αὐτήν, καὶ τὴν ξηράν αἱ χεῖρες αὐτοῦ ἔπλασαν. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός…
***ὁ α′ χορὸς…*** Δόξα Πατρὶ…***ὁ β′ χορὸς,*** Καὶ νῦν…**Ὁ** μονογενὴς Υἱὸς καὶ Λόγος του Θεοῦ, …
***Ἀντίφωνον γ' ὁ α′ χορὸς Στίχ.α'.***
**Μ**ακάριοι, οὓς ἐξελέξω καὶ προσελάβου Κύριε καὶ τὸ μνημόσυνον αὐτῶν εἰς γενεὰν καὶ γενεάν.
Ὁ βάθει σοφίας φιλανθρώπως πάντα οἰκονομῶν, καὶ τὸ συμφέρον πᾶσιν ἀπονέμων, μόνε Δημιουργέ, ἀνάπαυσον Κύριε τὰς ψυχὰς τῶν δούλων σου, ἐν σοὶ γὰρ τὴν ἐλπίδα ἀνέθεντο, τῷ ποιητῇ καὶ πλάστῃ καὶ Θεῷ ἡμῶν.
***ὁ β′χορὸς,Στίχ.β′.*** **Α**ἱ ψυχαὶ αὐτῶν, ἐν ἀγαθοῖς αὐλισθήσονται. Ὁ βάθει σοφίας φιλανθρώπως πάντα οἰκονομῶν,…
***ΕΙΣΟΔΟΣ, ὁ α′ χορὸς,*** **Δ**εῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός,…***ὁ β′χορὸς***…**ψ**άλλοντάς σοι΄ Ἀλληλούϊα.
***ὁ α′ χορὸς,*** Ὁ βάθει σοφίας φιλανθρώπως …
***ὁ β′χορὸςΤοῦ Ναοῦ, ὁ α′ χορὸς Κοντάκιον ῏Ηχος πλ. δ'***
**Μ**ετὰ τῶν Ἁγίων ἀνάπαυσον, Χριστέ, τὰς ψυχὰς τῶν δούλων σου, ἔνθα οὐκ ἔστι πόνος, οὐ λύπη, οὐ στεναγμός, ἀλλὰ ζωὴ ἀτελεύτητος.
***Τρισάγιον.᾿Απόστολος Προκείμενον ῏Ηχος πλ. β'***
**Α**ἱ ψυχαὶ αὐτῶν ἐν ἀγαθοῖς αὐλισθήσονται.
***Στίχ.*** **Π**ρὸς σὲ Κύριε κεκράξομαι ὁ Θεὸς μου.
Πρὸς Θεσσαλονικεῖς Α′ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα
**Ἀ**δελφοί, οὐ θέλω ὑμᾶς ἀγνοεῖν …
***…Κοινωνικόν, ὁ β′ χορός***
**Μ**ακάριοι, οὓς ἐξελέξω, καὶ προσελάβου Κύριε, καὶ τὸ μνημόσυνον αὐτῶν εἰς γενεὰν καὶ γενεάν. Ἀλληλούϊα.
***…(στο πρό της Πεντηκοστης Σάββατο ἀντὶ τοῦ*** Εἴδομεν τὸ φῶς,***τὸ τροπάριον*** «Ὁ βάθει σοφίας» ***ἤ ῏Ηχος β΄.*** Μνήσθητι εὔσπλαγχνε καὶ ἡμῶν, καθὼς ἐμνημόνευσας τοῦ Λῃστοῦ, ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν.***)***
***…ἦχος β′…*** **Ε**ἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπό τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. (***Τρίς***).

***καὶ ψάλλονται τά παρόντα Τροπάρια· Ἦχος δ', ὁ α' χορὸς,*** **Μ**ετὰ πνευμάτων δικαίων, τετελειωμένων, τὰς ψυχὰς τῶν δούλων σου, Σῶτερ ἀνάπαυσον, φυλάττων αὐτάς, εἰς τὴν μακαρίαν ζωήν, τὴν παρὰ σοὶ φιλάνθρωπε.
***ὁ β' χορὸς,*** **Ε**ἰς τὴν κατάπαυσίν σου Κύριε, ὅπου πάντες οἱ ἅγιοί σου ἀναπαύονται, ἀνάπαυσον καὶ τὰς ψυχὰς τῶν δούλων σου, ὅτι μόνος ὑπάρχεις ἀθάνατος.
***ὁ α' χορὸς ,*** Δόξα Πατρί...**Σ**ὺ εἶ ὁ Θεὸς ἡμῶν ὁ καταβὰς εἰς Ἅδην καὶ τὰς ὀδύνας λύσας τῶν πεπεδημένων, αὐτὸς καὶ τὰς ψυχὰς τῶν δούλων σου Σῶτερ ἀνάπαυσον.
***ὁ β' χορὸς,*** Καὶ νῦν... ***Θεοτοκίον*** **Ἡ** μόνη ἁγνὴ καὶ ἄχραντος Παρθένος, ἡ Θεὸν ἀσπόρως κυήσασα, πρέσβευε τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.
***τελεῖται δὲ τό μνημόσυνον τῶν κεκοιμημένων ὡς ἑξῆς: ὁ Διάκονος:*** ᾿**Ε**λέησον ἡμᾶς, ὁ Θεός, …

**Σάββατον του Λαζάρου, *ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, Ἀντίφωνον α', Ἦχος β', ὁ α' χορὸς ,Στίχ. α'.***
**Ἀ**γαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, …
***Ἀντίφωνον β', ὁ β'χορὸς, Στίχ. α'.***
**Δ**εῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἀλαλάξωμεν τῷ Θεῷ τῷ Σωτῆρι ἡμῶν.
**Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ αναστάς εκ νεκρων, ψάλλοντάς σοι, Ἀλληλούϊα.
***ὁ α' χορὸς , Στίχ. β'.*** **Π**ροφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν αὐτῷ, ὅτι Θεὸς μέγας, Κύριος καὶ Βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ...
***ὁ β' χορὸς, Στίχ. γ'.*** **Ὅ**τι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς, καὶ τὰ ὕψη τῶν ὀρέων αὐτοῦ εἰσιν, ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα, καὶ αὐτὸς ἐποίησεν αὐτήν, καὶ τὴν ξηράν αἱ χεῖρες αὐτοῦ ἔπλασαν. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ...
***ὁ α' χορὸς*** , Δόξα Πατρὶ...***ὁ β' χορὸς*** , Καὶ νῦν...Ὁ Μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, …
***Ἀντίφωνον Γ', ὁ α' χορός, Στίχ. α΄***
**Α**ἰνεσάτωσαν Αὐτὸν οἱ οὐρανοὶ καὶ ἡ γῆ.
***Ἀπολυτίκιον Ἦχος α'***
**Τ**ὴν κοινὴν Ἀνάστασιν πρὸ τοῦ σοῦ Πάθους πιστούμενος, ἐκ νεκρῶν ἤγειρας τὸν Λάζαρον, Χριστὲ ὁ Θεός, ὅθεν καὶ ἡμεῖς ὡς οἱ Παῖδες, τὰ τῆς νίκης σύμβολα φέροντες, σοὶ τῷ Νικητῇ τοῦ θανάτου βοῶμεν. Ὡσαννὰ ἐν τοῖς ὑψίστοις, εὐλογημένος ὁ ἐρχόμενος, ἐν ὀνόματι Κυρίου.

***ὁ β΄ χορός, Στίχ.β΄*** **Α**ὕτη ἡ ἡμέρα Κυρίου, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.
**Τ**ὴν κοινὴν Ἀνάστασιν…
***ΜΙΚΡΑ ΕΙΣΟΔΟΣ, Εἰσοδικὸν, ὁ α΄ χορός,*** **Δ**εῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ , ὁ ἀναστὰς ἐκ νεκρῶν….. ***ὁ β΄ χορὸς***…**ψ**άλλοντάς σοι, Ἀλληλούϊα.
***ὁ α΄ χορός, Ἀπολυτίκιον ̓Ηχος α΄,*** **Τ**ὴν κοινὴν Ἀνάστασιν …
***ὁ β΄ χορός, Κοντάκιον ̓Ηχος β', Τὰ ἄνω ζητῶν***
**Ἡ** πάντων χαρά, Χριστὸς ἡ ἀλήθεια, τὸ φῶς ἡ ζωή, τοῦ Κόσμου ἡ ἀνάστασις, τοῖς ἐν γῇ πεφανέρωται, τῇ αὐτοῦ ἀγαθότητι, καὶ γέγονε τύπος τῆς ἀναστάσεως, τοῖς πᾶσι παρέχων θείαν ἄφεσιν.
***Ἀντὶ δὲ τοῦ Τρισαγίου,*** **Ὅ**σοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε, **Ἀ**λληλούϊα.
**᾿Απόστολος,** ***Προκείμενον ἦχος γ΄,*** **Κ**ύριος φωτισμός μου καὶ σωτήρ μου.
***Στίχ.*** **Κ**ύριος ὑπερασπιστὴς τῆς ζωῆς μου.
Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα. ***(Κεφ. ΙΒ' 28 -29, ΙΓ',1-8)***
**Ἀ**δελφοί, βασιλείαν ἀσάλευτον παραλαμβάνοντες …
***…Εἰς τό, Ἐξαιρέτως , ὁ α΄ χορός , ᾠδὴ θ' Ὁ Εἱρμὸς , ἦχος πλ.δ΄,*** **Τ**ὴν ἁγνὴν ἐνδόξως τιμήσωμεν, λαοὶ Θεοτόκον, τὴν τὸ θεῖον πῦρ ἐν γαστρί, ἀφλέκτως συλλαβοῦσαν, ὕμνοις ἀσιγήτοις μεγαλύνωμεν**.**
***…ὁ β΄ χορός, Κοινωνικὸν , ̓Ηχος α΄,*** **Ἐ**κ στόματος νηπίων καὶ θηλαζόντων κατηρτίσω αἶνον. **Ἀ**λληλούϊα.
***ὁ α΄ χορός , Ἀντὶ τοῦ*** **«Ε**ἴδομεν τὸ φῶς…» ***Ἀπολυτίκιον ̓Ηχος α΄,*** **Τ**ὴν κοινὴν Ἀνάστασιν…***Ἀπόλυσις:*** «…῾Ο ἀναστάς ἐκ νεκρῶν…»

**ΤΗι ΑΓΙΑι ΚΑΙ ΜΕΓΑΛΗι ΠΕΜΠΤΗι** ***(πρωΐ)….ὁ Διάκονος:*** **Τ**οῦ Κυρίου δεηθῶμεν.***ὁ α΄χορός***, **Κ**ύριε ἐλέησον.***ὁ Ἱερεύς:*** **Ὅ**τι ἅγιος εἶ ὁ Θεὸς ἡμῶν…***τὸ Τρισάγιον, εἶτα τὸν Ἀπόστολον,Προκείμενον ̓Ηχος βαρὺς***
**Ο**ἱ ἄρχοντες συνήχθησαν ἐπὶ τὸ αὐτό.
***Στίχ.*** **Ἱ**να τί ἐφρύαξαν ἔθνη, καὶ λαοί.
Πρὸς Κορινθίους Α' Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα ***(Κέφ. ΙΑ', 23-32)***
**Ἀ**δελφοί, ἐγὼ παρέλαβον ἀπὸ τοῦ Κυρίου, …
***…Ἀντὶ Χερουβικοῦ τὸ παρὸν Τροπάριον, ̓Ηχος πλ. β', ὁ α΄χορὸς,*** **Τ**οῦ Δείπνου σου τοῦ μυστικοῦ, σήμερον Υἱὲ Θεοῦ, κοινωνόν με παράλαβε, οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου τὸ Μυστήριον εἴπω, οὐ φίλημά σοι δώσω, καθάπερ ὁ Ἰούδας…***Μ.Εἴσοδος…( συνεχίζει πάλιν ὁ α΄χορὸς) …*** **ἀ**λλ' ὡς ὁ Ληστὴς ὁμολογῶ σοι. Μνήσθητί μου Κύριε, ὅταν ἔλθῃς ἐν τῇ Βασιλείᾳ σου.

***Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Μεγάλου Βασιλείου ( ἦχος β',), Εἰς τό, Ἐξαιρέτως.ὁ α' χορός. τὸ Μέγα Μεγαλυνάριον. Ἐμμελής ἀπαγγελία εἰς τὸ κλιτὸν***

**Ἐ**πὶ σοὶ χαίρει, Κεχαριτωμένη, πᾶσα ἡ κτίσις, Ἀγγέλων τὸ σύστημα, καὶ ἀνθρώπων τὸ γένος· ἡγιασμένε ναέ, καὶ Παράδεισε λογικέ, παρθενικὸν καύχημα, ἐξ ἧς Θεός ἐσαρκώθη, καὶ παιδίον γέγονεν, ὁ πρὸ αἰώνων ὑπάρχων Θεὸς ἡμῶν. ***Ἦχος α' ἐκ τοῦ Κε (μέλος ἀρχαῖον),*** **Τ**ὴν γὰρ σὴν μήτραν, θρόνον ἐποίησε, καὶ τὴν σὴν γαστέρα, πλατυτέραν οὐρανῶν ἀπειργάσατο. Ἐπὶ σοὶ χαίρει Κεχαριτωμένη, πᾶσα ἡ κτίσις, δόξα σοι.

***...Ἀντὶ Κοινωνικοῦ , ὁ β' χορός , Ἦχος πλ. β'*** , **Τ**οῦ Δείπνου σου τοῦ μυστικοῦ, σήμερον Υἱὲ Θεοῦ,...

...***Ἀντὶ τοῦ*** *«Εἴδομεν τὸ φῶς...»,* **Τ**οῦ Δείπνου σου τοῦ μυστικοῦ, ...***(χύμα εἰς τὸ κλιτὸν)***

**ΤΩι ΑΓΙΩι ΚΑΙ ΜΕΓΑΛΩι ΣΑΒΒΑΤΩι (πρωΐ)**, ***ΕΣΠΕΡΙΝΟΣ ΚΑΙ ΛΕΙΤΟΥΡΓΙΑ Μ. ΒΑΣΙΛΕΙΟΥ (έχει φύγει ο Επιτάφιος και έχει τοποθετηθεί η εικόνα της Αναστάσεως. τα καλύμματα της Αγίας Τραπέζης λευκά. λουλούδια σε πανέρι για το "ανάστα ο Θεός..."),Περὶ ὥραν δεκάτην τῆς ἡμέρας σημαίνει. ὁ δὲ Ἱερεὺς ἀλλάσσει στολὴν λευκήν,***

***ὁ Ἱερεύς:*** ***Ε****ὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς....* ***ὁ Ἀναγνώστης:*** **Ἀ**μήν. ***Ὁ προοιμιακός,*** Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ βασιλεῖ ἡμῶν Θεῷ. Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, τῷ βασιλεῖ ἡμῶν Θεῷ. Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ Χριστῷ, τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν. Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, Κύριε ὁ Θεός μου ἐμεγαλύνθης σφόδρα. Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον. Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν, ὁ στεγάζων ἐν ὕδασιν τὰ ὑπερῷα αὐτοῦ. Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων. Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα. Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν. Ἀναβαίνουσιν ὄρη, καὶ καταβαίνουσι πεδία εἰς τόπον, ὃν ἐθεμελίωσας αὐτά. Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν. Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀνάμεσον τῶν ὀρέων διελεύσονται ὕδατα. Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν. Ἐπ' αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν.

Ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ. Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων. Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου. Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει. Χορτασθήσωνται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσας. Ἐκεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν. Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγῳοῖς. Ἐποίησε σελήνην είς καιρούς ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ Ἔθου σκότος, καὶ ἐγένετο νύξ ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ. Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι, καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς. Ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθησαν, καὶ είς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται. Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας, ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου. Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος, ἐκεῖ ἑρπετὰ ὧν οὐκ ἔστιν ἀριθμός, ζῷα μικρὰ μετὰ μεγάλων. Ἐκεῖ πλοῖα διαπορεύονται, δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῇ. Πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν είς εὔκαιρον δόντος σου αὐτοῖς συλλέξουσιν. Ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος, ἀποστρέψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται. Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ είς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν. Ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς. Ἤτω ἡ δόξα Κυρίου είς τοὺς αἰῶνας, εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ.

Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν, ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζονται. Ἄισω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω. Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ. Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς, καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον. Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ ἔθου σκότος, καὶ ἐγένετο νύξ. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε πάντα ἐν σοφίᾳ ἐποίησας.

***Δόξα Πατρὶ... Καὶ νῦν...*** Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοι ὁ Θεός ***(ἐκ γ')***. Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.

***Ι.*** **Ἐ**ν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν… ***ὁ α' χορός, Ἦχος α' Ψαλμὸς ρμ' (140),*** **Κ**ύριε ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου, εἰσάκουσόν μου, Κύριε. Κύριε, ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου, ἐν τῷ κεκραγέναι μὲ πρὸς σὲ εἰσάκουσόν μου, Κύριε.

***ὁ β' χορός,*** **Κ**ατευθυνθήτω ἡ προσευχή μου, ὡς θυμίαμα ἐνώπιόν σου ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινὴ εἰσάκουσόν μου, Κύριε.

***Στιχηρὰ Ἀναστάσιμα, ἦχος α', ὁ α' χορός, Στίχ.*** **Ἐ**κ βαθέων ἐκέκραξά σοι, Κύριε, Κύριε εἰσάκουσον τῆς φωνῆς μου.

**Τ**ὰς ἑσπερινὰς ἡμῶν εὐχάς, πρόσδεξαι ἅγιε Κύριε καὶ παράσχου ἡμῖν, ἄφεσιν ἁμαρτιῶν, ὅτι μόνος εἶ ὁ δείξας, ἐν κόσμῳ τὴν Ἀνάστασιν. ***ἦχος ὁ αὐτὸς, ὁ β' χορός***

***Στίχ.*** **Γ**ενηθήτω τὰ ὦτά σου προσέχοντα είς τὴν φωνὴν τῆς δεήσεώς μου. **Κ**υκλώσατε λαοὶ Σιών, καὶ περιλάβετε αὐτήν, καὶ δότε δόξαν ἐν αὐτῇ, τῷ ἀναστάντι ἐκ νεκρῶν, ὅτι αὐτὸς ἐστιν ὁ Θεὸς ἡμῶν, ὁ λυτρωσάμενος ἡμᾶς, ἐκ τῶν ἀνομιῶν ἡμῶν.

***ὁ α' χορός, Στίχ.*** **Ἐ**ὰν ἀνομίας παρατηρήσης, Κύριε, Κύριε τίς ὑποστήσεται; ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν. ***ἦχος ὁ αὐτὸς***

**Δ**εῦτε λαοὶ ὑμνήσωμεν, καὶ προσκυνήσωμεν Χριστόν, δοξάζοντες αὐτοῦ τὴν ἐκ νεκρῶν Ἀνάστασιν, ὅτι αὐτὸς ἐστιν ὁ Θεὸς ἡμῶν, ὁ ἐκ τῆς πλάνης τοῦ ἐχθροῦ, τόν Κόσμον λυτρωσάμενος.

***ὁ β' χορός, Στίχ.*** **Ἕ**νεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε, Κύριε, ὑπέμεινεν ἡ ψυχή μου είς τὸν λόγον σου, ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον. ***ἦχος ὁ αὐτὸς***

**Τ**ῷ Πάθει σου Χριστέ, παθῶν ἠλευθερώθημεν, καὶ τῇ Ἀναστάσει σου, ἐκ φθορᾶς ἐλυτρώθημεν. Κύριε δόξα σοι.

***Στιχηρὰ Ἰδιόμελα, ὁ α' χορός, Ἦχος πλ. δ' , Στίχ.*** **Ἀ**πὸ φυλακῆς πρωΐας μέχρι νυκτός, ἀπὸ φυλακῆς πρωΐας, ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον.

**Σ**ήμερον ὁ Ἅιδης στένων βοᾷ, συνέφερέ μοι, εἰ τὸν ἐκ Μαρίας γεννηθέντα, μὴ ὑπεδεξάμην, ἐλθὼν γὰρ ἐπ' ἐμέ, τὸ κράτος μου ἔλυσε, πύλας χαλκᾶς συνέτριψε, ψυχάς ἃς κατεῖχον τὸ πρίν, Θεὸς ὢν ἀνέστησε. Δόξα Κύριε τῷ Σταυρῷ σου, καὶ τῇ Ἀναστάσει σου.

***ὁ β' χορός, Στίχ.*** **Ὅ**τι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος καὶ πολλὴ παρ' αὐτῷ λύτρωσις καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ. **Σ**ήμερον ὁ Ἅιδης στένων βοᾷ, συνέφερέ μοι…

***ὁ α' χορός, Στίχ.*** **Α**ἰνεῖτε τὸν κύριον πάντα τὰ ἔθνη ἐπαινέσατε αὐτὸν πάντες οἱ λαοί. ***Ἦχος ὁ αὐτὸς***

**Σ**ήμερον ὁ Ἅιδης στένων βοᾷ, κατελύθη μου ἡ ἐξουσία, ἐδεξάμην θνητόν, ὥσπερ ἕνα τῶν θανόντων, τοῦτον δὲ κατέχειν ὅλως οὐκ ἰσχύω, ἀλλ' ἀπολῶ μετὰ τούτου, ὧν ἐβασίλευον, ἐγὼ εἶχον τοὺς νεκροὺς ἀπ' αἰῶνος, ἀλλὰ οὗτος ἰδοὺ πάντας ἐγείρει. Δόξα Κύριε τῷ Σταυρῷ σου, καὶ τῇ ἀναστάσει σου.

***ὁ β' χορός, Στίχ.*** **Ὅ**τι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἡ ἀλήθεια τοῦ κυρίου μένει είς τὸν αἰῶνα. ***Ἦχος ὁ αὐτὸς***

**Σ**ήμερον ὁ Ἅιδης στένων βοᾷ, κατεπόθη μου τὸ κράτος, ὁ ποιμὴν ἐσταυρώθη, καὶ τὸν Ἀδὰμ ἀνέστησεν, ὧνπερ ἐβασίλευον ἐστέρημαι, καὶ οὓς κατέπιον ἰσχύσας, πάντας ἐξήμεσα, ἐκένωσε τοὺς τάφους ὁ

σταυρωθείς, οὐκ ἰσχύει τοῦ θανάτου τὸ κράτος. Δόξα Κύριε τῷ Σταυρῷ σου, καὶ τῇ ἀναστάσει σου.
***ὁ α’χορὸς***, Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι., ***Ἦχος πλ. β'***
**Τ**ὴν σήμερον μυστικῶς, ὁ μέγας Μωϋσῆς προδιετυποῦτο λέγων. Καὶ εὐλόγησεν ὁ Θεός, τὴν ἡμέραν τὴν ἑβδόμην, τοῦτο γὰρ ἐστι τὸ εὐλογημένον Σάββατον, αὕτη ἐστίν ἡ τῆς καταπαύσεως ἡμέρα, ἐν ᾗ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, ὁ Μονογενὴς Υἱὸς τοῦ Θεοῦ, διὰ τῆς κατὰ τὸν θάνατον οἰκονομίας, τῇ σαρκὶ σαββατίσας, καὶ εἰς ὃ ἦν, πάλιν ἐπανελθὼν, διὰ τῆς Ἀναστάσεως, ἐδωρήσατο ἡμῖν ζωὴν τὴν αἰώνιον, ὡς μόνος ἀγαθὸς καὶ φιλάνθρωπος.
***ὁ β’ χορός ,***Καὶ νῦν... ***Θεοτοκίον Ἦχος α',*** **Τ**ὴν παγκόσμιον δόξαν, τὴν ἐξ ἀνθρώπων σπαρεῖσαν, καὶ τὸν Δεσπότην τεκοῦσαν, τὴν ἐπουράνιον πύλην, ὑμνήσωμεν Μαρίαν τὴν Παρθένον, τῶν ἀσωμάτων τὸ ᾆσμα, καὶ τῶν πιστῶν τὸ ἐγκαλλώπισμα, αὕτη γὰρ ἀνεδείχθη οὐρανὸς καὶ ναὸς τῆς θεότητος, αὕτη τὸ μεσότοιχον τῆς ἔχθρας καθελοῦσα, εἰρήνην ἀντεισῆξε, καὶ τὸ βασίλειον ἠνέῳξε. Ταύτην οὖν κατέχοντες τῆς πίστεως τὴν ἄγκυραν, ὑπέρμαχον ἔχομεν τὸν ἐξ αὐτῆς τεχθέντα Κύριον. Θαρσείτω τοίνυν, θαρσείτω λαὸς τοῦ Θεοῦ, καὶ γὰρ αὐτός πολεμήσει, τοὺς ἐχθροὺς **ὡς παντοδύναμος.**
***Εἴσοδος μετὰ τοῦ Εὐαγγελίου τό, Φῶς ἱλαρόν..., καὶ εὐθὺς τὰ (Δ.: ΕΣΠΕΡΑΣ!)*** *Ἀναγνώσματα.* ***Ἀνάγνωσμα Α'***
**Γενέσεως τὸ Ἀνάγνωσμα**, ***(Κεφ. Α', 1-13)*** Ἐν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν. Ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος, καὶ σκότος ἐπάνω τῆς ἀβύσσου, καὶ πνεῦμα Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος. Καὶ εἶπεν ὁ Θεός· γενηθήτω φῶς· καὶ ἐγένετο φῶς. Καὶ εἶδεν ὁ Θεὸς τὸ φῶς, ὅτι καλόν· καὶ διεχώρισεν ὁ Θεὸς ἀνὰ μέσον τοῦ φωτὸς καὶ ἀνὰ μέσον τοῦ σκότους. Καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ φῶς Ἡμέραν καὶ τὸ σκότος ἐκάλεσε Νύκτα. Καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ, ἡμέρα μία. Καὶ εἶπεν ὁ Θεός· γενηθήτω στερέωμα ἐν μέσῳ τοῦ ὕδατος καὶ ἔστω διαχωρίζον ἀνὰ μέσον ὕδατος καὶ ὕδατος. καὶ ἐγένετο οὕτως. Καὶ ἐποίησεν ὁ Θεὸς τὸ στερέωμα, καὶ διεχώρισεν ὁ Θεὸς ἀνὰ μέσον τοῦ ὕδατος, ὃ ἦν ὑποκάτω τοῦ στερεώματος, καὶ ἀναμέσον τοῦ ὕδατος τοῦ ἐπάνω τοῦ στερεώματος. Καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ στερέωμα Οὐρανόν. Καὶ εἶδεν ὁ Θεός, ὅτι καλόν, καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ, ἡμέρα δευτέρα. Καὶ εἶπεν ὁ Θεός· συναχθήτω τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς συναγωγὴν μίαν, καὶ ὀφθήτω ἡ ξηρά. Καὶ ἐγένετο οὕτως· καὶ συνήχθη τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ εἰς τὰς συναγωγὰς αὐτῶν, καὶ ὤφθη ἡ ξηρά. Καὶ ἐκάλεσεν ὁ Θεὸς τὴν ξηρὰν Γῆν καὶ τὰ συστήματα τῶν ὑδάτων ἐκάλεσε Θαλάσσας. Καὶ εἶδεν ὁ Θεός, ὅτι καλόν. Καὶ εἶπεν ὁ Θεός· βλαστησάτω ἡ γῆ βοτάνην χόρτου σπεῖρον σπέρμα κατὰ γένος καὶ

καθ' ὁμοιότητα, καὶ ξύλον κάρπιμον ποιοῦν καρπόν, οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς γῆς. Καὶ ἐγένετο οὕτως. Καὶ ἐξήνεγκεν ἡ γῆ βοτάνην χόρτου σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ' ὁμοιότητα, καὶ ξύλον κάρπιμον ποιοῦν καρπόν, οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς γῆς. Καὶ εἶδεν ὁ Θεός, ὅτι καλόν. Καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ, ἡμέρα τρίτη.

***Ἀνάγνωσμα Δ'*, Προφητείας Ἰωνᾶ τὸ Ἀνάγνωσμα, *(Κεφ. Α' - Δ')***
Ἐγένετο λόγος Κυρίου πρὸς Ἰωνᾶν τὸν τοῦ Ἀμαθὶ λέγων· Ἀνάστηθι καὶ πορεύθητι εἰς Νινευὴ τὴν πόλιν τὴν μεγάλην καὶ κήρυξον ἐν αὐτῇ, ὅτι ἀνέβη ἡ κραυγὴ τῆς κακίας αὐτῆς πρός με. Καὶ ἀνέστη Ἰωνᾶς τοῦ φυγεῖν εἰς Θαρσὶς ἐκ προσώπου Κυρίου καὶ κατέβη εἰς Ἰόππην καὶ εὗρε πλοῖον βαδίζον εἰς Θαρσὶς καὶ ἔδωκε τὸν ναῦλον αὐτοῦ καὶ ἐνέβη εἰς αὐτὸ τοῦ πλεῦσαι μετ' αὐτῶν εἰς Θαρσὶς ἐκ προσώπου Κυρίου. Καὶ Κύριος ἐξήγειρε πνεῦμα μέγα εἰς τὴν θάλασσαν, καὶ ἐγένετο κλύδων μέγας ἐν τῇ θαλάσσῃ, καὶ τὸ πλοῖον ἐκινδύνευε τοῦ συντριβῆναι. Καὶ ἐφοβήθησαν οἱ ναυτικοὶ καὶ ἀνεβόησαν ἕκαστος πρὸς τὸ θεὸν αὐτοῦ καὶ ἐκβολὴν ἐποιήσαντο τῶν σκευῶν τῶν ἐν τῷ πλοίῳ εἰς τὴν θάλασσαν τοῦ κουφισθῆναι ἀπ' αὐτῶν. Ἰωνᾶς δὲ κατέβη εἰς τὴν κοίλην τοῦ πλοίου καὶ ἐκάθευδε καὶ ἔρρεγχε. Καὶ προσῆλθε πρὸς αὐτὸν ὁ πρωρεὺς καὶ εἶπεν αὐτῷ· τί σὺ ῥέγχεις; ἀνάστα καὶ ἐπικαλοῦ τὸν Θεόν σου, ὅπως διασώσῃ ὁ Θεὸς ἡμᾶς καὶ οὐ μὴ ἀπολώμεθα. Καὶ εἶπεν ἕκαστος πρὸς τὸν πλησίον αὐτοῦ· δεῦτε βάλωμεν κλήρους καὶ ἐπιγνῶμεν τίνος ἕνεκεν ἡ κακία αὕτη ἐστὶν ἐν ἡμῖν; καὶ ἔβαλον κλήρους, καὶ ἔπεσεν ὁ κλῆρος ἐπὶ Ἰωνᾶν. Καὶ εἶπον πρὸς αὐτόν· ἀπάγγειλον ἡμῖν τίνος ἕνεκεν ἡ κακία αὕτη ἐστὶν ἐν ἡμῖν; τίς σου ἡ ἐργασία ἐστί; καὶ πόθεν ἔρχῃ, καὶ τοῦ πορεύῃ, καὶ ἐκ ποίας χώρας καὶ ἐκ ποίου λαοῦ εἶ σύ; Καὶ εἶπε πρὸς αὐτούς· δοῦλος Κυρίου εἰμὶ ἐγὼ καὶ τὸν Κύριον Θεὸν τοῦ οὐρανοῦ ἐγὼ σέβομαι, ὃς ἐποίησε τὴν θάλασσαν καὶ τὴν ξηράν. Καὶ ἐφοβήθησαν οἱ ἄνδρες φόβον μέγαν καὶ εἶπον πρὸς αὐτόν· τί τοῦτο ἐποίησας; διότι ἔγνωσαν οἱ ἄνδρες, ὅτι ἐκ προσώπου Κυρίου ἦν φεύγων, ὅτι ἀπήγγειλεν αὐτοῖς. Καὶ εἶπον πρὸς αὐτόν· τί ποιήσομέν σοι καὶ κοπάσει ἡ θάλασσα ἀφ' ἡμῶν; ὅτι ἡ θάλασσα ἐπορεύετο καὶ ἐξήγειρε μᾶλλον κλύδωνα. Καὶ εἶπεν Ἰωνᾶς πρὸς αὐτούς· ἄρατέ με καὶ ἐμβάλετέ με εἰς τὴν θάλασσαν, καὶ κοπάσει ἡ θάλασσα ἀφ' ὑμῶν· διότι ἔγνωκα ἐγὼ ὅτι δι' ἐμὲ ὁ κλύδων ὁ μέγας οὗτος ἐφ' ὑμᾶς ἐστι. Καὶ παρεβιάζοντο οἱ ἄνδρες τοῦ ἐπιστρέψαι πρὸς τὴν γῆν καὶ οὐκ ἠδύναντο, ὅτι ἡ θάλασσα ἐπορεύετο καὶ ἐξηγείρετο μᾶλλον ἐπ' αὐτούς. Καὶ ἀνεβόησαν πρὸς Κύριον καὶ εἶπαν· μηδαμῶς, Κύριε, μὴ ἀπολώμεθα ἕνεκεν τῆς ψυχῆς τοῦ ἀνθρώπου τούτου, καὶ μὴ δῷς ἐφ' ἡμᾶς αἷμα δίκαιον, διότι σύ, Κύριε, ὃν τρόπον ἐβούλου, πεποίηκας. Καὶ ἔλαβον τὸν Ἰωνᾶν καὶ ἐξέβαλον αὐτὸν εἰς τὴν

θάλασσαν, καὶ ἔστη ἡ θάλασσα ἐκ τοῦ σάλου αὐτῆς. Καὶ ἐφοβήθησαν οἱ ἄνδρες φόβῳ μεγάλῳ τὸν Κύριον καὶ ἔθησαν θυσίαν τῷ Κυρίῳ καὶ ηὔξαντο τὰς εὐχάς. Καὶ προσέταξε Κύριος κήτει μεγάλῳ καταπιεῖν τὸν Ἰωνᾶν· καὶ ἦν Ἰωνᾶς ἐν τῇ κοιλίᾳ τοῦ κήτους τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας. Καὶ προσηύξατο Ἰωνᾶς πρὸς Κύριον τὸν Θεὸν αὐτοῦ ἐκ τῆς κοιλίας τοῦ κήτους καὶ εἶπεν· Ἐβόησα ἐν θλίψει μου πρὸς Κύριον τὸν Θεόν μου, καὶ εἰσήκουσέ μου· ἐκ κοιλίας ᾄδου κραυγῆς μου ἤκουσας φωνῆς μου. Ἀπέρριψάς με εἰς βάθη καρδίας θαλάσσης, καὶ ποταμοὶ ἐκύκλωσάν με· πάντες οἱ μετεωρισμοί σου καὶ τὰ κύματά σου ἐπ' ἐμὲ διῆλθον. Καὶ ἐγὼ εἶπα· ἀπῶσμαι ἐξ ὀφθαλμῶν σου· ἆρα προσθήσω τοῦ ἐπιβλέψαι με πρὸς ναὸν τὸν ἅγιόν σου; Περιεχύθη μοι ὕδωρ ἕως ψυχῆς, ἄβυσσος ἐκύκλωσέ με ἐσχάτη, ἔδυ ἡ κεφαλή μου εἰς σχισμὰς ὀρέων. Κατέβην εἰς γῆν, ἧς οἱ μοχλοὶ αὐτῆς κάτοχοι αἰώνιοι, καὶ ἀναβήτω ἐκ φθορᾶς ἡ ζωή μου, πρὸς σὲ Κύριε ὁ Θεός μου. Ἐν τῷ ἐκλείπειν ἀπ' ἐμοῦ τὴν ψυχήν μου τοῦ Κυρίου ἐμνήσθην, καὶ ἔλθοι πρὸς σὲ ἡ προσευχή μου εἰς ναὸν τὸ ἅγιόν σου. Φυλασσόμενοι μάταια καὶ ψευδῆ ἔλεον αὐτῶν ἐγκατέλιπον. Ἐγὼ δὲ μετὰ φωνῆς αἰνέσεως καὶ ἐξομολογήσεως θύσω σοι, ὅσα ηὐξάμην ἀποδώσω σοι εἰς σωτηρίαν μου τῷ Κυρίῳ. Καὶ προσέταξε Κύριος τῷ κήτει, καὶ ἐξέβαλε τὸν Ἰωνᾶν ἐπὶ τὴν ξηράν. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς Ἰωνᾶν ἐκ δευτέρου λέγων· Ἀνάστηθι καὶ πορεύθητι εἰς Νινευὴ τὴν πόλιν τὴν μεγάλην καὶ κήρυξον ἐν αὐτῇ κατὰ τὸ κήρυγμα τὸ ἔμπροσθεν, ὃ ἐγὼ ἐλάλησα πρός σε. Καὶ ἀνέστη Ἰωνᾶς καὶ ἐπορεύθη εἰς Νινευή, καθὰ ἐλάλησε Κύριος· ἡ δὲ Νινευὴ ἦν πόλις μεγάλη τῷ Θεῷ ὡσεὶ πορείας ὁδοῦ τριῶν ἡμερῶν. Καὶ ἤρξατο Ἰωνᾶς τοῦ εἰσελθεῖν εἰς τὴν πόλιν ὡσεὶ πορείαν ἡμέρας μιᾶς καὶ ἐκήρυξε καὶ εἶπεν· ἔτι τρεῖς ἡμέραι καὶ Νινευὴ καταστραφήσεται. Καὶ ἐπίστευσαν οἱ ἄνδρες Νινευὴ τῷ Θεῷ καὶ ἐκήρυξαν νηστείαν καὶ ἐνεδύσαντο σάκκους ἀπὸ μεγάλου αὐτῶν ἕως μικροῦ αὐτῶν. Καὶ ἤγγισεν ὁ λόγος πρὸς τὸν βασιλέα τῆς Νινευή, καὶ ἐξανέστη ἀπὸ τοῦ θρόνου αὐτοῦ καὶ περιείλετο τὴν στολὴν αὐτοῦ ἀφ' ἑαυτοῦ καὶ περιεβάλετο σάκκον καὶ ἐκάθισεν ἐπὶ σποδοῦ. Καὶ ἐκηρύχθη καὶ ἐρρέθη ἐν τῇ Νινευὴ παρὰ τοῦ βασιλέως καὶ παρὰ τῶν μεγιστάνων αὐτοῦ λέγων· οἱ ἄνθρωποι καὶ τὰ κτήνη καὶ οἱ βόες καὶ τὰ πρόβατα μὴ γευσάσθωσαν μηδὲ νεμέσθωσαν μηδὲ ὕδωρ πιέτωσαν. Καὶ περιεβάλλοντο σάκκους οἱ ἄνθρωποι καὶ τὰ κτήνη, καὶ ἀνεβόησαν πρὸς τὸν Θεὸν ἐκτενῶς· καὶ ἀπέστρεψαν ἕκαστος ἀπὸ τῆς ὁδοῦ αὐτῶν τῆς πονηρᾶς καὶ ἀπὸ τῆς ἀδικίας τῆς ἐν χερσὶν αὐτῶν λέγοντες· Τίς οἶδεν εἰ μετανοήσει ὁ Θεὸς καὶ ἀποστρέψει ἐξ ὀργῆς θυμοῦ αὐτοῦ καὶ οὐ μὴ ἀπολώμεθα; Καὶ εἶδεν ὁ Θεὸς τὰ ἔργα αὐτῶν, ὅτι ἀπέστρεψαν ἀπὸ τῶν ὁδῶν αὐτῶν τῶν πονηρῶν, καὶ μετενόησεν ὁ Θεὸς ἐπὶ τῇ κακίᾳ, ᾗ ἐλάλησε τοῦ ποιῆσαι αὐτοῖς, καὶ οὐκ ἐποίησε. Καὶ

ἐλυπήθη Ἰωνᾶς λύπην μεγάλην καὶ συνεχύθη, καὶ προσηύξατο πρὸς Κύριον καὶ εἶπεν· Ὦ Κύριε, οὐχ οὗτοι οἱ λόγοι μου ἔτι ὄντος μου ἐν τῇ γῇ μου; διὰ τοῦτο προέφθασα τοῦ φυγεῖν εἰς Θαρσίς, διότι ἔγνων ὅτι σὺ ἐλεήμων καὶ οἰκτίρμων, μακρόθυμος καὶ πολυέλεος καὶ μετανοῶν ἐπὶ ταῖς κακίαις. Καὶ νῦν, δέσποτα Κύριε, λάβε τὴν ψυχήν μου ἀπ' ἐμοῦ, ὅτι καλὸν τὸ ἀποθανεῖν με μᾶλλον, ἢ ζῆν με. Καὶ εἶπε Κύριος πρὸς Ἰωνᾶν· εἰ σφόδρα λελύπησαι σύ; Καὶ ἐξῆλθεν Ἰωνᾶς ἐκ τῆς πόλεως καὶ ἐκάθισεν ἀπέναντι τῆς πόλεως· καὶ ἐποίησεν ἑαυτῷ ἐκεῖ σκηνὴν καὶ ἐκάθητο ὑποκάτω αὐτῆς, ἕως οὗ ἀπίδῃ τί ἔσται τῇ πόλει. Καὶ προσέταξε Κύριος ὁ Θεὸς κολοκύνθῃ, καὶ ἀνέβη ὑπὲρ κεφαλῆς τοῦ Ἰωνᾶ τοῦ εἶναι σκιὰν ὑπεράνω τῆς κεφαλῆς αὐτοῦ τοῦ σκιάζειν αὐτῷ ἀπὸ τῶν κακῶν αὐτοῦ. καὶ ἐχάρη Ἰωνᾶς ἐπὶ τῇ κολοκύνθῃ χαρὰν μεγάλην. Καὶ προσέταξεν ὁ Θεὸς σκώληκι ἑωθινῇ τῇ ἐπαύριον, καὶ ἐπάταξε τὴν κολοκύνθαν, καὶ ἀπεξηράνθη. Καὶ ἐγένετο ἅμα τῷ ἀνατεῖλαι τὸν ἥλιον καὶ προσέταξεν ὁ Θεὸς πνεύματι καύσωνι συγκαίοντι, καὶ ἐπάταξεν ὁ ἥλιος ἐπὶ τὴν κεφαλὴν τοῦ Ἰωνᾶ· καὶ ὠλιγοψύχησε καὶ ἐπελέγετο τὴν ψυχὴν αὐτοῦ καὶ εἶπε· καλόν μοι ἀποθανεῖν με ἢ ζῆν. Καὶ εἶπεν ὁ Θεὸς πρὸς Ἰωνᾶν· εἰ σφόδρα λελύπησαι σὺ ἐπὶ τῇ κολοκύνθῃ; καὶ εἶπε· σφόδρα λελύπημαι ἐγὼ ἕως θανάτου. Καὶ εἶπε Κύριος· σὺ ἐφείσω ὑπὲρ τῆς κολοκύνθης, ὑπὲρ ἧς οὐκ ἐκακοπάθησας ἐπ' αὐτὴν οὐδὲ ἐξέθρεψας αὐτήν, ἣ ἐγενήθη ὑπὸ νύκτα καὶ ὑπὸ νύκτα ἀπώλετο. Ἐγὼ δὲ οὐ φείσομαι ὑπὲρ Νινευὴ τῆς πόλεως τῆς μεγάλης, ἐν ᾗ κατοικοῦσι πλείους ἢ δώδεκα μυριάδες ἀνθρώπων, οἵτινες οὐκ ἔγνωσαν δεξιὰν αὐτῶν ἢ ἀριστερὰν αὐτῶν, καὶ κτήνη πολλά;

***Ἀνάγνωσμα ΙΕ'*, Προφητείας Δανιὴλ τὸ Ἀνάγνωσμα, *(Κεφ. Γ', 1-23 καὶ Ὕμνου Τριῶν Παίδων 1-33)*** Ἔτους ὀκτωκαιδεκάτου Ναβουχοδονόσορ ὁ βασιλεὺς ἐποίησεν εἰκόνα χρυσῆν, ὕψος αὐτῆς πήχεων ἑξήκοντα, εὖρος αὐτῆς πήχεων ἕξ, καὶ ἔστησεν αὐτὴν ἐν πεδίῳ Δεειρᾷ, ἐν χώρᾳ Βαβυλῶνος. Καὶ ἀπέστειλε συναγαγεῖν τοὺς ὑπάτους καὶ τοὺς στρατηγοὺς καὶ τοὺς τοπάρχας, ἡγουμένους τε καὶ τυράννους καὶ τοὺς ἐπ´ ἐξουσιῶν καὶ πάντας τοὺς ἄρχοντας τῶν χωρῶν ἐλθεῖν εἰς τὰ ἐγκαίνια τῆς εἰκόνος, ἣν ἔστησε Ναβουχοδονόσορ ὁ βασιλεύς. Καὶ συνήχθησαν οἱ τοπάρχαι, ὕπατοι, στρατηγοί, ἡγούμενοι, τύραννοι μεγάλοι, οἱ ἐπ´ ἐξουσιῶν καὶ πάντες οἱ ἄρχοντες τῶν χωρῶν εἰς τὸν ἐγκαινισμὸν τῆς εἰκόνος, ἣν ἔστησε Ναβουχοδονόσορ ὁ βασιλεύς, καὶ εἱστήκεισαν ἐνώπιον τῆς εἰκόνος. Καὶ ὁ κήρυξ ἐβόα ἐν ἰσχύϊ· ὑμῖν λέγεται, λαοί, φυλαί, γλῶσσαι· ᾗ ἂν ὥρᾳ ἀκούσητε τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, σαμβύκης τε καὶ ψαλτηρίου, συμφωνίας καὶ παντὸς γένους μουσικῶν, πίπτοντες προσκυνεῖτε τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησε

Ναβουχοδονόσορ ὁ βασιλεύς· καὶ ὃς ἂν μὴ πεσὼν προσκυνήσῃ, αὐτῇ τῇ ὥρᾳ ἐμβληθήσεται εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην. Καὶ ἐγένετο ὅταν ἤκουον οἱ λαοὶ τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, σαμβύκης τε καὶ ψαλτηρίου καὶ συμφωνίας καὶ παντὸς γένους μουσικῶν, πίπτοντες πάντες οἱ λαοί, φυλαί, γλῶσσαι, προσεκύνουν τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησε Ναβουχοδονόσορ ὁ βασιλεύς. Τότε προσήλθοσαν ἄνδρες Χαλδαῖοι καὶ διέβαλον τοὺς Ἰουδαίους τῷ βασιλεῖ Ναβουχοδονόσορ· βασιλεῦ, εἰς τοὺς αἰῶνας ζῆθι. Σὺ βασιλεῦ, ἔθηκας δόγμα πάντα ἄνθρωπον, ὃς ἂν ἀκούσῃ τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, σαμβύκης καὶ ψαλτηρίου καὶ συμφωνίας καὶ παντὸς γένους μουσικῶν καὶ μὴ πεσὼν προσκυνήσῃ τῇ εἰκόνι τῇ χρυσῇ, ἐμβληθήσεται εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην. Εἰσὶν ἄνδρες Ἰουδαῖοι, οὓς κατέστησας ἐπὶ τὰ ἔργα τῆς χώρας Βαβυλῶνος, Σεδράχ, Μισάχ, Ἀβδεναγώ, οἳ οὐχ ὑπήκουσαν, βασιλεῦ, τῷ δόγματί σου, τοῖς θεοῖς σου οὐ λατρεύουσι, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησας, οὐ προσκυνοῦσι. Τότε Ναβουχοδονόσορ ἐν θυμῷ καὶ ὀργῇ εἶπεν ἀγαγεῖν τὸν Σεδράχ, Μισὰχ καὶ Ἀβδεναγώ, καὶ ἤχθησαν ἐνώπιον τοῦ βασιλέως. Καὶ ἀπεκρίθη Ναβουχοδονόσορ καὶ εἶπεν αὐτοῖς· εἰ ἀληθῶς Σεδράχ, Μισάχ, Ἀβδεναγώ, τοῖς θεοῖς μου οὐ λατρεύετε καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησα, οὐ προσκυνεῖτε; Νῦν οὖν εἰ ἔχετε ἑτοίμως, ἵνα ὡς ἂν ἀκούσητε τῆς φωνῆς τῆς σάλπιγγος, σύριγγός τε καὶ κιθάρας, σαμβύκης τε καὶ ψαλτηρίου καὶ συμφωνίας καὶ παντὸς γένους μουσικῶν, πεσόντες προσκυνήσητε τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἐποίησα· ἐὰν δὲ μὴ προσκυνήσητε, αὐτῇ τῇ ὥρᾳ ἐμβληθήσεσθε εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην. καὶ τίς ἐστι Θεός, ὃς ἐξελεῖται ὑμᾶς ἐκ τῶν χειρῶν μου; Καὶ ἀπεκρίθησαν Σεδράχ, Μισάχ, Ἀβδεναγὼ λέγοντες τῷ βασιλεῖ Ναβουχοδονόσορ· οὐ χρείαν ἔχομεν ἡμεῖς περὶ τοῦ ρήματος τούτου ἀποκριθῆναί σοι· ἔστι γὰρ Θεὸς ἡμῶν ἐν οὐρανοῖς, ᾧ ἡμεῖς λατρεύομεν, δυνατὸς ἐξελέσθαι ἡμᾶς ἐκ τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης, καὶ ἐκ τῶν χειρῶν σου, βασιλεῦ, ρύσεται ἡμᾶς· καὶ ἐὰν μή, γνωστὸν ἔστω σοι, βασιλεῦ, ὅτι τοῖς θεοῖς σου οὐ λατρεύομεν καὶ τῇ εἰκόνι, ᾗ ἔστησας, οὐ προσκυνοῦμεν. Τότε Ναβουχοδονόσορ ἐπλήσθη θυμοῦ, καὶ ἡ ὄψις τοῦ προσώπου αὐτοῦ ἠλλοιώθη ἐπὶ Σεδράχ, Μισὰχ καὶ Ἀβδεναγώ, καὶ εἶπεν ἐκκαῦσαι τὴν κάμινον ἑπταπλασίως, ἕως οὗ εἰς τέλος ἐκκαῇ· καὶ ἄνδρας ἰσχυροὺς ἰσχύϊ εἶπε πεδήσαντας τὸν Σεδράχ, Μισὰχ καὶ Ἀβδεναγὼ ἐμβαλεῖν εἰς τὴν κάμινον τοῦ πυρὸς τὴν καιομένην. Τότε οἱ ἄνδρες ἐκεῖνοι ἐπεδήθησαν σὺν τοῖς σαραβάροις αὐτῶν καὶ τιάραις καὶ περικνημίσι καὶ ἐβλήθησαν εἰς τὸ μέσον τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης, ἐπεὶ τὸ ρῆμα τοῦ βασιλέως ὑπερίσχυσε καὶ ἡ κάμινος ἐξεκαύθη ἐκ περισσοῦ. Καὶ οἱ τρεῖς οὗτοι,

Σεδράχ, Μισὰχ καὶ Ἀβδεναγώ, ἔπεσον εἰς μέσον τῆς καμίνου τοῦ πυρὸς τῆς καιομένης πεπεδημένοι. καὶ περιεπάτουν ἐν μέσῳ τῆς φλογὸς ὑμνοῦντες τὸν Θεὸν καὶ εὐλογοῦντες τὸν Κύριον. Καὶ συστὰς Ἀζαρίας προσύξατο οὕτως καὶ ἀνοίξας τὸ στόμα αὐτοῦ ἐν μέσῳ τοῦ πυρὸς εἶπεν· Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετός, καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας, ὅτι δίκαιος εἶ ἐπὶ πᾶσιν, οἷς ἐποίησας ἡμῖν, καὶ πάντα τὰ ἔργα σου ἀληθινά, καὶ εὐθεῖαι αἱ ὁδοί σου, καὶ πᾶσαι αἱ κρίσεις σου ἀλήθεια, καὶ κρίματα ἀληθείας ἐποίησας κατὰ πάντα, ἃ ἐπήγαγες ἡμῖν καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν τὴν τῶν πατέρων ἡμῶν Ἱερουσαλήμ, ὅτι ἐν ἀληθείᾳ καὶ κρίσει ἐπήγαγες ταῦτα πάντα, διὰ τὰς ἁμαρτίας ἡμῶν. Ὅτι ἡμάρτομεν καὶ ἠνομήσαμεν ἀποστῆναι ἀπὸ σοῦ καὶ ἐξημάρτομεν ἐν πᾶσι καὶ τῶν ἐντολῶν σου οὐκ ἠκούσαμεν, οὐδὲ συνετηρήσαμεν οὐδὲ ἐποιήσαμεν καθὼς ἐνετείλω ἡμῖν, ἵνα εὖ ἡμῖν γένηται. Καὶ πάντα, ὅσα ἐπήγαγες ἡμῖν καὶ πάντα ὅσα ἐποίησας ἡμῖν, ἐν ἀληθινῇ κρίσει ἐποίησας καὶ παρέδωκας ἡμᾶς εἰς χεῖρας ἐχθρῶν ἀνόμων, ἐχθίστων ἀποστατῶν, καὶ βασιλεῖ ἀδίκῳ καὶ πονηροτάτῳ παρὰ πᾶσαν τὴν γῆν. Καὶ νῦν οὐκ ἔστιν ἡμῖν ἀνοῖξαι τὸ στόμα· αἰσχύνη καὶ ὄνειδος ἐγενήθημεν τοῖς δούλοις σου καὶ τοῖς σεβομένοις σε. Μὴ δὴ παραδῴης ἡμᾶς εἰς τέλος διὰ τὸ ὄνομά σου καὶ μὴ διασκεδάσῃς τὴν διαθήκην σου καὶ μὴ ἀποστήσῃς τὸ ἔλεός σου ἀφ΄ ἡμῶν διὰ Ἀβραὰμ τὸν ἠγαπημένον ὑπὸ σοῦ καὶ διὰ Ἰσαὰκ τὸν δοῦλόν σου καὶ Ἰσραὴλ τὸν ἅγιόν σου, οἷς ἐλάλησας πληθῦναι τὸ σπέρμα αὐτῶν ὡς τὰ ἄστρα τοῦ οὐρανοῦ καὶ ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης. Ὅτι, δέσποτα, ἐσμικρύνθημεν παρὰ πάντα τὰ ἔθνη καί ἐσμεν ταπεινοὶ ἐν πάσῃ τῇ γῇ σήμερον διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ οὐκ ἔστιν ἐν τῷ καιρῷ τούτῳ ἄρχων καὶ προφήτης καὶ ἡγούμενος, οὐδὲ ὁλοκαύτωσις οὐδὲ θυσία οὐδὲ προσφορὰ οὐδὲ θυμίαμα, οὐ τόπος τοῦ καρπῶσαι ἐνώπιόν σου καὶ εὑρεῖν ἔλεος· ἀλλ΄ ἐν ψυχῇ συντετριμμένῃ καὶ πνεύματι ταπεινώσεως προσδεχθείημεν ὡς ἐν ὁλοκαυτώμασι κριῶν καὶ ταύρων καὶ ὡς ἐν μυριάσιν ἀρνῶν πιόνων, οὕτως γενέσθω ἡ θυσία ἡμῶν ἐνώπιόν σου σήμερον καὶ ἐκτελέσαι ὄπισθέν σου, ὅτι οὐκ ἔσται αἰσχύνη τοῖς πεποιθόσιν ἐπὶ σέ. Καὶ νῦν ἐξακολουθοῦμεν ἐν ὅλῃ καρδίᾳ καὶ φοβούμεθά σε καὶ ζητοῦμεν τὸ πρόσωπόν σου, μὴ καταισχύνῃς ἡμᾶς, ἀλλὰ ποίησον μεθ΄ ἡμῶν κατὰ τὴν ἐπιείκειάν σου καὶ κατὰ τὸ πλῆθος τοῦ ἐλέους σου καὶ ἐξελοῦ ἡμᾶς κατὰ τὰ θαυμάσιά σου καὶ δὸς δόξαν τῷ ὀνόματί σου, Κύριε. καὶ ἐντραπείησαν πάντες οἱ ἐνδεικνύμενοι τοῖς δούλοις σου κακὰ καὶ καταισχυνθείησαν ἀπὸ πάσης δυναστείας, καὶ ἡ ἰσχὺς αὐτῶν συντριβείη· καὶ γνώτωσαν ὅτι σὺ εἶ Κύριος Θεὸς μόνος καὶ ἔνδοξος ἐφ΄ ὅλην τὴν οἰκουμένην. Καὶ οὐ διέλιπον οἱ ἐμβάλλοντες αὐτοὺς ὑπηρέται τοῦ βασιλέως καίοντες τὴν

κάμινον νάφθαν καὶ πίσσαν καὶ στυππίον καὶ κληματίδα. Καὶ διεχεῖτο ἡ φλὸξ ἐπάνω τῆς καμίνου ἐπὶ πήχεις τεσσαρακονταεννέα. Καὶ διώδευσε καὶ ἐνεπύρισεν οὕς εὗρε περὶ τὴν κάμινον τῶν Χαλδαίων. Ὁ δὲ ἄγγελος Κυρίου συγκατέβη ἅμα τοῖς περὶ τὸν Ἀζαρίαν είς τὴν κάμινον καὶ ἐξετίναξε τὴν φλόγα τοῦ πυρὸς ἐκ τῆς καμίνου καὶ ἐποίησε τὸ μέσον τῆς καμίνου ὡς πνεῦμα δρόσου διασυρίζον, καὶ οὐχ ἥψατο αὐτῶν τὸ καθόλου τὸ πῦρ καὶ οὐκ ἐλύπησεν οὐδὲ παρηνώχλησεν αὐτοῖς. Τότε οἱ τρεῖς ὡς ἐξ ἑνὸς στόματος ὕμνουν καὶ ἐδόξαζον καὶ ηὐλόγουν τὸν Θεὸν ἐν τῇ καμίνῳ λέγοντες· Εὐλογητὸς εἶ, Κύριε ὁ Θεὸς τῶν πατέρων ἡμῶν, καὶ αἰνετὸς καὶ ὑπερυψούμενος είς τοὺς αἰῶνας, καὶ εὐλογημένον τὸ ὄνομα τῆς δόξης σου τὸ ἅγιον καὶ ὑπεραινετὸν καὶ ὑπερυψούμενον είς πάντας τοὺς αἰῶνας. Εὐλογημένος εἶ ἐν τῷ ναῷ τῆς ἁγίας δόξης σου καὶ ὑπερύμνητος καὶ ὑπερένδοξος είς τοὺς αἰῶνας. Εὐλογημένος εἶ ὁ ἐπιβλέπων ἀβύσσους, καθήμενος ἐπὶ Χερουβὶμ καὶ αἰνετὸς καὶ ὑπερυψούμενος είς τοὺς αἰῶνας. Εὐλογημένος εἶ ὁ ἐπὶ θρόνου τῆς βασιλείας σου καὶ ὑπερύμνητος καὶ ὑπερυψούμενος είς τοὺς αἰῶνας. Εὐλογημένος εἶ ἐν τῷ στερεώματι τοῦ Οὐρανοῦ, ὁ ὑπερύμνητος, καὶ ὑπερυψούμενος είς τοὺς αἰῶνας.

***ὁ α' χορός,*** ***Ἦχος α',*** **Τ**ὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε είς πάντας τοὺς αἰῶνας.

***Εἶτα ὁ μὲν <u>Ἀναγνώστης</u> λέγει τὸν ἑπόμενον Ὕμνον, <u>ἡμεῖς</u> δὲ μεθ' ἕνα ἕκαστον τῶν Στίχων αὐτῶν ψάλλομεν, Τὸν Κύριον ὑμνεῖτε, ὡς ἕπεται. ΥΜΝΟΣ ΤΩΝ ΑΓΙΩΝ ΤΡΙΩΝ ΠΑΙΔΩΝ***

Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου, τὸν Κύριον, ὑμνεῖτε καὶ ὑπερυψοῦτε αὐτὸν είς τοὺς αἰῶνας.

***ὁ β' χορός,*** **Τ**ὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε είς πάντας τοὺς αἰῶνας.

Εὐλογεῖτε, Ἄγγελοι Κυρίου, οὐρανοὶ Κυρίου, τὸν Κύριον.

***ὁ α' χορός,*** **Τ**ὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε είς πάντας τοὺς αἰῶνας.

Εὐλογεῖτε, ὕδατα πάντα τὰ ὑπεράνω τῶν οὐρανῶν, πᾶσαι αἱ Δυνάμεις Κυρίου, τὸν Κύριον.

***ὁ β' χορός,*** **Τ**ὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε είς πάντας τοὺς αἰῶνας.

Εὐλογεῖτε, ἥλιος καὶ σελήνη, ἄστρα τοῦ οὐρανοῦ, τὸν Κύριον.

***ὁ α' χορός,*** **Τ**ὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε είς πάντας τοὺς αἰῶνας.

Εὐλογεῖτε, φῶς καὶ σκότος, νύκτες καὶ ἡμέραι, τὸν Κύριον.

***ὁ β' χορός,*** **Τ**ὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε είς πάντας τοὺς αἰῶνας.

Εὐλογεῖτε, πᾶς ὄμβρος καὶ δρόσος, πάντα τὰ πνεύματα, τὸν Κύριον.
***ὁ α′ χορός,*** **Τ**ὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε είς πάντας τοὺς αἰῶνας.
Εὐλογεῖτε, πῦρ καὶ καῦμα, ψῦχος καὶ καύσων, τὸν Κύριον.
***ὁ β′ χορός,*** **Τ**ὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε είς πάντας τοὺς αἰῶνας.
Εὐλογεῖτε δρόσοι καὶ νιφετοί, πάγοι καὶ ψῦχος, τὸν Κύριον.
***ὁ α′ χορός,*** **Τ**ὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε είς πάντας τοὺς αἰῶνας.
Εὐλογεῖτε, πάχναι καὶ χιόνες, ἀστραπαὶ καὶ νεφέλαι τὸν Κύριον.
***ὁ β′ χορός,*** **Τ**ὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε είς πάντας τοὺς αἰῶνας.
Εὐλογεῖτε, γῆ, ὄρη καὶ βουνοί, καὶ πάντα τὰ φυόμενα ἐν αὐτῇ, τὸν Κύριον.
***ὁ α′ χορός,*** **Τ**ὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε είς πάντας τοὺς αἰῶνας.
Εὐλογεῖτε, πηγαί, θάλασσα, καὶ ποταμοί, κήτη, καὶ πάντα τὰ κινούμενα ἐν τοῖς ὕδασι, τὸν Κύριον.
***ὁ β′ χορός,*** **Τ**ὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε είς πάντας τοὺς αἰῶνας.
Εὐλογεῖτε, πάντα τὰ πετεινὰ τοῦ οὐρανοῦ, τὰ θηρία καὶ πάντα τὰ κτήνη, τὸν Κύριον.
***ὁ α′ χορός,*** **Τ**ὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε είς πάντας τοὺς αἰῶνας.
Εὐλογεῖτε, υἱοὶ τῶν ἀνθρώπων, εὐλογείτω Ἰσραὴλ τὸν Κύριον.
***ὁ β′ χορός,*** **Τ**ὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε είς πάντας τοὺς αἰῶνας.
Εὐλογεῖτε, Ἱερεῖς Κυρίου, δοῦλοι Κυρίου, τὸν Κύριον.
***ὁ α′ χορός,*** **Τ**ὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε είς πάντας τοὺς αἰῶνας.
Εὐλογεῖτε, πνεύματα καὶ ψυχαὶ Δικαίων, ὅσιοι καὶ ταπεινοὶ τῇ καρδίᾳ, τὸν Κύριον.
***ὁ β′ χορός,*** **Τ**ὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε είς πάντας τοὺς αἰῶνας.
Εὐλογεῖτε, Ἀνανία, Ἀζαρία, καὶ Μισαήλ, τὸν Κύριον.
***ὁ α′ χορός,*** **Τ**ὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε είς πάντας τοὺς αἰῶνας.
Εὐλογεῖτε, Ἀπόστολοι, Προφῆται, καὶ Μάρτυρες Κυρίου, τὸν Κύριον.
***ὁ β′ χορός,*** **Τ**ὸν Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε είς πάντας τοὺς αἰῶνας.
**Εὐλογοῦμεν Πατέρα Υἱόν, καὶ Ἅγιον Πνεῦμα τὸν Κύριον.**

***ὁ α΄ χορός,*** **Τ**ὸν Κύριον ὑμνοῦμεν, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

**Αἰνοῦμεν, εὐλογοῦμεν, καὶ προσκυνοῦμεν τὸν Κύριον.**

***ὁ β΄ χορός***, **Τ**ὸν Κύριον ὑμνοῦμεν, καὶ δοξολογοῦμεν **εἰς πάντας τοὺς αἰῶνας.**

***Δ. ΤΟΥ ΚΥΡΙΟΥ ΔΕΗΘΩΜΕΝ...,*** **Ἀντὶ τοῦ Τρισαγίου**, Ὅσοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε. Ἀλληλούϊα.

***Προκείμενον Ἦχος πλ. α'***

**Π**ᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι, καὶ ψαλάτωσάν σοι.

***Στίχ.*** Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.

**Πρὸς Ῥωμαίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα**, *(Κεφ. ς', 3-11)*

**Ἀ**δελφοί, ὅσοι εἰς Χριστὸν ἐβαπτίσθημεν, …

***(Ο ΙΕΡΕΥΣ ΣΚΟΡΠΙΖΕΙ ΦΥΛΛΑ ΔΑΦΝΗΣ ΨΑΛΛΟΝΤΑΣ) , Ἦχος βαρὺς***

**Ἀ**νάστα, ὁ Θεός, κρῖνον τὴν γῆν, ὅτι σὺ κατακληρονομήσεις ἐν πᾶσι τοῖς ἔθνεσι.

***Τὸν αὐτὸν ψάλλομεν καὶ ἐν ἑνὶ ἑκάστῳ τῶν ἑπομένων Στίχων τοῦ Ψαλμοῦ πα', λεγομένων παρὰ τοῦ Ἀναγνώστου χύμα.***

***Στίχ.*** **Ὁ** Θεὸς ἔστη ἐν συναγωγῇ Θεῶν, ἐν μέσῳ δὲ θεοὺς διακρινεῖ.

**Ἀ**νάστα, ὁ Θεός, κρῖνον τὴν γῆν, ὅτι σὺ κατακληρονομήσεις ἐν πᾶσι τοῖς ἔθνεσι.

***Στίχ.*** **Ἕ**ως πότε κρίνετε ἀδικίαν, καὶ πρόσωπα ἁμαρτωλῶν λαμβάνετε;

**Ἀ**νάστα, ὁ Θεός, κρῖνον τὴν γῆν, ὅτι σὺ κατακληρονομήσεις ἐν πᾶσι τοῖς ἔθνεσι.

***Στίχ.*** **Κ**ρίνατε ὀρφανῷ καὶ πτωχῷ, ταπεινὸν καὶ πένητα δικαιώσατε.

**Ἀ**νάστα, ὁ Θεός, κρῖνον τὴν γῆν, ὅτι σὺ κατακληρονομήσεις ἐν πᾶσι τοῖς ἔθνεσι.

***Στίχ.*** **Ἐ**ξέλεσθε πένητα καὶ πτωχόν, ἐκ χειρὸς ἁμαρτωλοῦ ῥύσασθε αὐτόν.

**Ἀ**νάστα, ὁ Θεός, κρῖνον τὴν γῆν, ὅτι σὺ κατακληρονομήσεις ἐν πᾶσι τοῖς ἔθνεσι.

***Στίχ.*** **Ο**ὐκ ἔγνωσαν, οὐδὲ συνῆκαν, ἐν σκότει διαπορεύονται, σαλευθήτωσαν πάντα τὰ θεμέλια τῆς γῆς.

**Ἀ**νάστα, ὁ Θεός, κρῖνον τὴν γῆν, ὅτι σὺ κατακληρονομήσεις ἐν πᾶσι τοῖς ἔθνεσι.

***Στίχ.*** **Ἐ**γὼ εἶπα, θεοὶ ἐστε, καὶ υἱοὶ Ὑψίστου πάντες, ὑμεῖς δὲ ὡς ἄνθρωποι ἀποθνήσκετε, καὶ ὡς εἷς τῶν ἀρχόντων πίπτετε.

**Ἀ**νάστα, ὁ Θεός, κρῖνον τὴν γῆν, ὅτι σὺ κατακληρονομήσεις **ἐν πᾶσι τοῖς ἔθνεσι.**

***(Ο ΔΙΑΚΟΝΟΣ) Εκ του κατὰ Ματθαῖον…Εὐαγγέλιον, Ὀψὲ Σαββάτων, τῇ ἐπιφωσκούσῃ …Ἀντὶ δὲ τοῦ Χερουβικοῦ, ψάλλομεν τὸ παρόν Τροπάριον, ὁ α' χορός , Ἦχος πλ. α'***

**Σ**ιγησάτω πᾶσα σάρξ βροτεία, καὶ στήτω μετὰ φόβου καὶ τρόμου, καὶ μηδὲν γήϊνον ἐν ἑαυτῇ λογιζέσθω, ὁ γὰρ Βασιλεὺς τῶν βασιλευόντων, καὶ Κύριος τῶν κυριευόντων, προσέρχεται σφαγιασθῆναι, καὶ δοθῆναι είς βρῶσιν τοῖς πιστοῖς, προηγοῦνται δὲ τούτου, οἱ χοροὶ τῶν Ἀγγέλων, μετὰ πάσης ἀρχῆς καὶ ἐξουσίας,…***Μ.Εἴσοδος…(καὶ συνεχίζει πάλιν ὁ α'χορὸς )…*****τ**ὰ πολυόμματα Χερουβείμ, καὶ τὰ ἑξαπτέρυγα Σεραφείμ, τὰς ὄψεις καλύπτοντα, καὶ βοῶντα τὸν ὕμνον. **Ἀ**λληλούϊα, Ἀλληλούϊα**, Ἀλληλούϊα.**

… ***Είς τό, Ἐξαιρέτως,ὁ α' χορός ,τὸ Μέγα,Μεγαλυνάριον ,Ἐμμελής ἀπαγγελία είς τὸ κλιτὸν***

**Ἐ**πὶ σοὶ χαίρει, Κεχαριτωμένη, πᾶσα ἡ κτίσις, Ἀγγέλων τὸ σύστημα, καὶ ἀνθρώπων τὸ γένος· ἡγιασμένε ναέ, καὶ Παράδεισε λογικέ, παρθενικὸν καύχημα, ἐξ ἧς Θεός ἐσαρκώθη, καὶ παιδίον γέγονεν, ὁ πρὸ αἰώνων ὑπάρχων Θεὸς ἡμῶν. ***Ἦχος α' ἐκ τοῦ Κε (μέλος ἀρχαῖον)***, **Τ**ὴν γὰρ σὴν μήτραν, θρόνον ἐποίησε, καὶ τὴν σὴν γαστέρα, πλατυτέραν οὐρανῶν ἀπειργάσατο. Ἐπὶ σοὶ χαίρει Κεχαριτωμένη, πᾶσα ἡ κτίσις, **δόξα σοι.**

***…ὁ β' χορός ,Κοινωνικὸν ἦχος α'***, **Ἐ**ξηγέρθη ὡς ὁ ὑπνῶν Κύριος, καὶ ἀνέστη σῴζων ἡμᾶς. Ἀλληλούϊα.

***Ἀντὶ τοῦ «Εἴδομεν τὸ φῶς» τὸ παρὸν, ὁ α' χορός,*** **Μ**νήσθητι, εὔσπλαγχνε, καὶ ἡμῶν, καθὼς ἐμνημόνευσας τοῦ λῃστοῦ, ἐν τῇ Βασιλείᾳ τῶν οὐρανῶν.

**Ἀπόλυσις,«…ὁ ἀναστάς…».**

***Ἅγιος Γεώργιος με Δευτέρα Διακαινησίμου.Είς τὴν Λειτουργίαν, Ι.*** *ευλογημένη η Βασιλεία…*

***Ἦχος πλ. α' ,ὁ Ἱερεύς:*** **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος. (τρὶς) ***<u>όπως στον Όρθρο…</u>***

***<u>Συναπτή μεγάλη.</u> Ἀντίφωνον α',Ἦχος β',ὁ α' χορὸς.Στίχ.*** **Ἀ**λαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.

**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου Σῶτερ σῶσον ἡμᾶς.

***ὁ β' χορὸς, Στίχ.*** **Ψ**άλατε δὴ τῷ ὀνόματι αὐτοῦ, δότε δόξαν ἐν αἰνέσει αὐτοῦ.

**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου…

***ὁ α' χορὸς, Στίχ.*** **Ε**ἴπατε τῷ Θεῷ, Ὡς φοβερὰ τὰ ἔργα σου. Ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύσονταί σε οἱ ἐχθροί σου.

**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου…

***ὁ β' χορὸς, Στίχ.*** **Π**ᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλάτωσάν σοι, ψαλάτωσαν δὴ τῷ ὀνόματι σου Ὕψιστε.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου…
***ὁ α΄χορὸς*, Δόξα Πατρὶ… *ὁ β' χορὸς*, Καὶ νῦν… *οἱ δύο χοροὶ ὁμοῦ*. Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου…
**<u>μικρά συναπτή,</u> Ἀντίφωνον β'**, **Ἦχος ὁ αὐτὸς**, **ὁ β' χορὸς**
***Στίχ.*** **Ὁ** Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐλεήσαι ἡμᾶς.
**Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι. Ἀλληλούϊα.
***ὁ α' χορὸς, Στίχ.*** **Τ**οῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου, ἐν πᾶσιν ἔθνεσι τὸ σωτήριόν σου. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ…
***ὁ β' χορὸς, Στίχ.*** **Ἐ**ξομολογησάσθωσάν σοι λαοί, ὁ Θεός, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ…
***ὁ α' χορὸς, Στίχ.*** **Ε**ὐλογήσαι ἡμᾶς ὁ Θεός, καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ…
***ὁ β' χορὸς,*** Δόξα Πατρὶ… ***ὁ α' χορὸς,*** Καὶ νῦν…***ὁ β' χορὸς,*** **Ὁ** Μονογενὴς Υἱὸς καὶ Λόγος του Θεοῦ, ἀθάνατος ὑπάρχων καὶ καταδεξάμενος διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε, Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, εἷς ὢν τῆς Ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.
**<u>μικρά συναπτή,</u> *Ἀντίφωνον γ', Ἦχος πλ. α', ὁ α' χορὸς, Στίχ.***
**Ἀ**ναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν.
**Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.
***ὁ β' χορὸς.Στίχ.*** **Ὡ**ς ἐκλείπει καπνός, ἐκλιπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός. **Χ**ριστὸς ἀνέστη…
***ὁ α' χορὸς. Στίχ.*** **Ο**ὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν. **Χ**ριστὸς ἀνέστη…
***ὁ β' χορὸς. Στίχ.*** **Α**ὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. **Χ**ριστὸς ἀνέστη…
***Εἰσοδικὸν,*** **Ἐ**ν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, Κύριον ἐκ πηγῶν Ἰσραήλ, σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι Ἀλληλούϊα.
***Εἶτα τὸ,*** **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν…***(ἐκ γ').***
***Ἡ Ὑπακοὴ Ἦχος δ'*** , **Π**ρολαβοῦσαι τὸν ὄρθρον αἱ περὶ Μαριάμ, καὶ εὑροῦσαι τὸν λίθον ἀποκυλισθέντα τοῦ μνήματος, ἤκουον ἐκ τοῦ Ἀγγέλου, τὸν ἐν φωτὶ ἀϊδίῳ ὑπάρχοντα, μετὰ νεκρῶν τὶ ζητεῖτε ὡς ἄνθρωπον; βλέπετε τὰ ἐντάφια σπάργανα, δράμετε, καὶ τῷ κόσμῳ

κηρύξατε, ὡς ἠγέρθη ὁ Κύριος, θανατώσας τὸν θάνατον, ὅτι ὑπάρχει Θεοῦ Υἱός, τοῦ σῴζοντος τὸ γένος τῶν ἀνθρώπων.
***Ἀπολυτίκιον ῏Ηχος δ'***, **Ὡ**ς τῶν αἰχμαλώτων ἐλευθερωτής, καὶ τῶν πτωχῶν ὑπερασπιστής, ἀσθενούντων ἰατρός, βασιλέων ὑπέρμαχος, Τροπαιοφόρε Μεγαλομάρτυς Γεώργιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.
***Κοντάκιον ῏Ηχος πλ. δ'*** , **Ε**ἰ καὶ ἐν τάφῳ κατῆλθες ἀθάνατε, ἀλλὰ τοῦ Ἅιδου καθεῖλες τὴν δύναμιν, καὶ ἀνέστης ὡς νικητής, Χριστὲ ὁ Θεός, γυναιξὶ μυροφόροις φθεγξάμενος, Χαίρετε, καὶ τοῖς σοῖς Ἀποστόλοις εἰρήνην δωρούμενος ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.
***Ἀντὶ δὲ τοῦ Τ ρ ι σ α γ ί ο υ. ῏Ηχος α'***
**Ὅ**σοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε, Ἀλληλούϊα.
***Ἀπόστολος ΤΟΥ ΑΓΙΟΥ ,Προκείμενον. (23ης Απριλίου)῏Ηχος βαρύς***
Εὐφρανθήσεται δίκαιος ἐν τῷ Κυρίῳ.
***Στίχ.*** Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου.
Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα, ***(Πράξ. ιβ΄ 1-11).***
**Κ**ατ' ἐκεῖνον τόν καιρόν ἐπέβαλεν ῾Ηρῴδης ὁ βασιλεὺς …
***…Εἰς τὸ Ἐξαιρέτως, ὁ α'χορὸς, ῏Ηχος α'. Στίχ.*** **Ὁ**῞Αγγελος ἐβόα τῇ Κεχαριτωμένῃ· ῾Αγνή, Παρθένε χαῖρε, καί πάλιν ἐρῶ χαῖρε, ὁ σός Υἱός ἀνέστη, τριήμερος ἐκ τάφου.
**Φ**ωτίζου, φωτίζου, ἡ νέα Ἰερουσαλήμ, ἡ γὰρ δόξα Κυρίου ἐπὶ σὲ ἀνέτειλε, Χόρευε νῦν, καὶ ἀγάλλου Σιών, σὺ δὲ ἁγνή, τέρπου Θεοτόκε, ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.
***…Κοινωνικὸν ,῏Ηχος β',*** **Σ**ῶμα Χριστοῦ μεταλάβετε, πηγῆς ἀθανάτου γεύσασθε**.**
***Εἰς τούς πανηγυρίζοντας Ναούς:*** **Ε**ἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. **Ἀ**λληλούϊα.
***Ἀντὶ τοῦ*** «Εἴδομεν τὸ φῶς...» ***καὶ τοῦ*** «Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον...**»** ***λέγεται τό,*** Χριστὸς ἀνέστη... ***Ἀπόλυσις: Διαλογική·*** «*῾Ο ἀναστάς ἐκ νεκρῶν...*». ***ὁ Προεξάρχων:*** **πρός τόν λαόν·** «*Χριστός ἀνέστη*». ***Ο Λαός:*** «*᾿Αληθῶς ἀνέστη*», ***τό αὐτό ἐπαναλαμβάνεται ἄλλας δύο φοράς καί ἀκολούθως ἐκφωνεῖ·*** **ὁ Προεξάρχων:** ***Τό·*** «*Δόξα τῇ Αὐτοῦ τριημέρῳ ἐγέρσει*».**῾Ο Λαός:** ***᾿Αποκρίνεται διά τοῦ·*** «*Προσκυνοῦμεν Αὐτοῦ τήν τριήμερον ἔγερσιν*». ***ὁ Προεξάρχων: Κατακλείει διά τοῦ·*** «*Χριστός ἀνέστη...*» **(*ὅλον*),** ***καί*** **῾Ο Λαός:** ***᾿Αντιφωνεῖ·*** «*᾿Αληθῶς ἀνέστη ὁ Κύριος*».
***(δεν διαβάζουμε ευχαριστία μετά την θ. μετάληψιν, απο την β' της Διακαινησίμου μέχρι και το Σάββατο)***

**ΠΕΜΠΤΗ του Θωμα, 23 ΑΠΡΙΛΙΟΥ.** ***Εἰς τὴν Λειτουργίαν, Μετά τό·*** «Εὐλογημένη ἡ βασιλεία...» ***ψάλλεται τό·*** «**Χ**ριστός ἀνέστη...», ***τρίς,***

***ἅπαξ ἀπό τοῦ Ἱεροῦ Βήματος καί ἀνά μίαν ὑπό τῶν Χορῶν.Ἀντίφωνον α΄, Ἦχος β΄, ὁ α΄ χορός, Στίχ.***
**Ἀ**λαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου Σῶτερ σῶσον ἡμᾶς.
***ὁ β΄ χορός, Στίχ.*** **Ψ**άλατε δὴ τῷ ὀνόματι αὐτοῦ, δότε δόξαν ἐν αἰνέσει αὐτοῦ. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...
***ὁ α΄ χορός, Στίχ.*** **Ε**ἴπατε τῷ Θεῷ΄ Ὡς φοβερὰ τὰ ἔργα σου. Ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύσονταί σε οἱ ἐχθροί σου. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...
***ὁ β΄ χορός, Στίχ.*** **Π**ᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλάτωσάν σοι, ψαλάτωσαν δὴ τῷ ὀνόματι σου Ὕψιστε. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...
***ὁ α΄ χορός,*** Δόξα Πατρί... ***ὁ β΄ χορός ,*** Καὶ νῦν...**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...
***Ἀντίφωνον β΄, Ἦχος ὁ αὐτὸς, ὁ β΄ χορός, Στίχ.***
**Ὁ** Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ΄ ἡμᾶς, καὶ ἐλεήσαι ἡμᾶς.
Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι. Ἀλληλούϊα.
***ὁ α΄ χορός, Στίχ.*** **Τ**οῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου, ἐν πᾶσιν ἔθνεσι τὸ σωτήριόν σου. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ...
***ὁ β΄ χορός, Στίχ.*** **Ἐ**ξομολογησάσθωσάν σοι λαοί, ὁ Θεός, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ...
***ὁ α΄ χορός, Στίχ.*** **Ε**ὐλογήσαι ἡμᾶς ὁ Θεός, καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ...
***ὁ β΄ χορός,*** Δόξα Πατρί... Καὶ νῦν...**Ὁ Μονογενὴς** Υἱὸς ...
***Ἀντίφωνον γ΄, Ἦχος πλ. α΄, ὁ α΄ χορός, Στίχ.***
**Ἀ**ναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν.
**Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.
***ὁ β΄ χορός, Στίχ.*** **Ὡ**ς ἐκλείπει καπνός, ἐκλιπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός. **Χ**ριστὸς ἀνέστη...
**ὁ α΄ χορός, Στίχ.** **Ο**ὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν. **Χ**ριστὸς ἀνέστη...
***ὁ β΄ χορός, Στίχ.*** **Α**ὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. **Χ**ριστὸς ἀνέστη...
***Εἰσοδικὸν, ὁ α΄ χορός,***
**Ἐ**ν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, Κύριον ἐκ πηγῶν Ἰσραήλ, σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν,...***ὁ β΄ χορός***...ψάλλοντάς σοι. **Ἀ**λληλούϊα.

***Εἶτα ὁ α' χορός,Ἀπολυτίκιον ἮΗχος βαρὺς,*** **Ἐ**σφραγισμένου τοῦ μνήματος ἡ ζωὴ ἐκ τάφου ἀνέτειλας Χριστὲ ὁ Θεός, καὶ τῶν θυρῶν κεκλεισμένων, τοῖς Μαθηταῖς ἐπέστης ἡ πάντων ἀνάστασις, πνεῦμα εὐθὲς δι' αὐτῶν ἐγκαινίζων ἡμῖν, κατὰ τὸ μέγα σου ἔλεος.

***Τὸ Ἀπολυτίκιον τοῦ ἁγίου. Ἦχος δ΄. Αὐτόμελον.***

Ὡς τῶν αἰχμαλώτων ἐλευθερωτής, καὶ τῶν πτωχῶν ὑπερασπιστής, ἀσθενούντων ἰατρός, βασιλέων ὑπέρμαχος, Τροπαιοφόρε μεγαλομάρτυς Γεώργιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

**<u>Εἶτα τὸ τοῦ Ἁγίου τοῦ Ναοῦ.</u>** ***Κοντάκιον τῆς ἑορτῆς (ἀπὸ Δευτέρας τοῦ Θωμᾶ μέχρι τοῦ Σαββάτου). Ἦχος πλ. δ΄. Αὐτόμελον.***

Τῇ φιλοπράγμονι δεξιᾷ * τὴν ζωοπάροχόν σου πλευρὰν * ὁ Θωμᾶς ἐξηρεύνησε, * Χριστὲ ὁ Θεός· * συγκεκλεισμένων γὰρ τῶν θυρῶν * ὡς εἰσῆλθες, * σὺν τοῖς λοιποῖς ἀποστόλοις ἐβόα σοι· * Κύριος ὑπάρχεις καὶ Θεός μου.

**<u>ΤΡΙΣΑΓΙΟΣ ΥΜΝΟΣ</u>**. ***ΑΠΟΣΤΟΛΟΣ. Τοῦ ἁγίου (Πρξ. ιβ΄ 1-11). (Ζήτει τῷ Σαββάτῳ τῆς Δ΄ ἑβδ. τῶν Πράξεων). Προκείμενον. Ἦχος βαρύς. (Ψαλμὸς ξγ΄).***

Εὐφρανθήσεται δίκαιος ἐν τῷ Κυρίῳ καὶ ἐλπιεῖ ἐπ᾽ αὐτόν, καὶ ἐπαινεθήσονται πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ.

***Στίχ.*** Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου ἐν τῷ δέεσθαί με πρὸς σέ, ἀπὸ φόβου ἐχθροῦ ἐξελοῦ τὴν ψυχήν μου.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα.

Κατ᾽ ἐκεῖνον τὸν καιρὸν ἐπέβαλεν Ἡρῴδης …

***…Κοινωνικόν.*** Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

***Μετὰ τὴν μετάδοσιν, ἀντὶ τοῦ· Εἴδομεν…Ἦχος πλ. α΄.***Χριστὸς ἀνέστη ἐκ νεκρῶν, …

**Παρασκευή Διακαινησίμου,<u> </u>ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ *Ι.*** *Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς…**Ἦχος πλ. α'** ,* **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν <u>χαρισάμενος</u>.

***Λέγεται δὲ τοῦτο τρὶς ὑπὸ τοῦ προεξάρχοντος Ἀρχιερέως ἢ Ἱερέως ἄνευ στίχων. Εἴθ' οὕτω λέγει τοὺς ἑπομένους στίχους ὁ προεξάρχων, καθ' ἕκαστον δὲ στίχον ψάλλεται ὁμοίως ὑπὸ τῶν Χορῶν τὸ αὐτὸ Τροπάριον.***

***Στίχ. α'*** **Ἀ**ναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν. ***ὁ α'χορὸς,*** **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν…

***Στίχ. β'.*** Ὡς ἐκλείπει καπνός, ἐκλιπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός. ***ὁ β'χορὸς***, **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν…

***Στίχ. γ'.*** **Ο**ὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν. ***ὁ α'χορὸς***, **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν…

***Στίχ. δ'*** **Α**ὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα, καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. ***ὁ α'χορὸς.***, **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν…

**ὁ α'χορὸς**, Δόξα Πατρί…**Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν…

***ὁ β'χορὸς,*** Καὶ νῦν…**Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν…

***Εἶτα ὁ προεξάρχων, γεγονωτέρᾳ φωνῇ,*** **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας…***ὁ β'χορὸς…κ***αὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος.

***ΜΕΓΑΛΗ ΣΥΝΑΠΤΗ…Ἀντίφωνον α' Ἦχος β'***

***Στίχ.*** **Ἀ**λαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ. ***ὁ α' χορός ,*** **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου Σῶτερ σῶσον ἡμᾶς.

***Στίχ.*** **Ψ**άλατε δὴ τῷ ὀνόματι αὐτοῦ, δότε δόξαν ἐν αἰνέσει αὐτοῦ. ***ὁ β' χορός,*** **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου…

***Στίχ.*** **Ε**ἴπατε τῷ Θεῷ΄ Ὡς φοβερὰ τὰ ἔργα σου. Ἐν τῷ πλήθει τῆς δυνάμεώς σου ψεύσονταί σε οἱ ἐχθροί σου. ***ὁ α' χορός,*** **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου…

***Στίχ.*** **Π**ᾶσα ἡ γῆ προσκυνησάτωσάν σοι καὶ ψαλάτωσάν σοι, ψαλάτωσαν δὴ τῷ ὀνόματι σου Ὕψιστε. ***ὁ β' χορός,*** **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου…

Δόξα Πατρὶ… Καὶ νῦν…**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου…

***Ἀντίφωνον β' Ἦχος ὁ αὐτὸς***

***Στίχ.*** **Ὁ** Θεὸς οἰκτειρήσαι ἡμᾶς καὶ εὐλογήσαι ἡμᾶς, ἐπιφάναι τὸ πρόσωπον αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐλεήσαι ἡμᾶς.***ὁ β' χορός,*** **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι. Ἀλληλούϊα.

***Στίχ.*** **Τ**οῦ γνῶναι ἐν τῇ γῇ τὴν ὁδόν σου, ἐν πᾶσιν ἔθνεσι τὸ σωτήριόν σου. ***ὁ α' χορός,*** **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ…

***Στίχ.*** **Ἐ**ξομολογησάσθωσάν σοι λαοί, ὁ Θεός, ἐξομολογησάσθωσάν σοι λαοὶ πάντες. ***ὁ β' χορός,*** **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ…

***Στίχ.*** **Ε**ὐλογήσαι ἡμᾶς ὁ Θεός, καὶ φοβηθήτωσαν αὐτὸν πάντα τὰ πέρατα τῆς γῆς. **ὁ α' χορός Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ…

Δόξα Πατρί… Καὶ νῦν…***ὁ β' χορός*** **Ὁ** Μονογενὴς Υἱὸς καὶ Λόγος του Θεοῦ, …

***Ἀντίφωνον γ' Ἦχος πλ. α'***

***Στίχ.*** **Ἀ**ναστήτω ὁ Θεός, καὶ διασκορπισθήτωσαν οἱ ἐχθροὶ αὐτοῦ, καὶ φυγέτωσαν ἀπὸ προσώπου αὐτοῦ οἱ μισοῦντες αὐτόν.

***ὁ α' χορός,*Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

***Στίχ.*** **Ὡ**ς ἐκλείπει καπνός, ἐκλιπέτωσαν, ὡς τήκεται κηρὸς ἀπὸ προσώπου πυρός. ***ὁ β' χορός ,*** **Χ**ριστὸς ἀνέστη...

***Στίχ.*** **Ο**ὕτως ἀπολοῦνται οἱ ἁμαρτωλοὶ ἀπὸ προσώπου τοῦ Θεοῦ, καὶ οἱ δίκαιοι εὐφρανθήτωσαν. ***ὁ α' χορός,*** **Χ**ριστὸς ἀνέστη...

***Στίχ.*** **Α**ὕτη ἡ ἡμέρα, ἣν ἐποίησεν ὁ Κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. ***ὁ β' χορός,*** **Χ**ριστὸς ἀνέστη...

***Εἰσοδικὸν (το ψάλλουν οι ιερεις ή ο χορός),*** **Ἐ**ν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν, Κύριον ἐκ πηγῶν Ἰσραήλ, σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν, ψάλλοντάς σοι΄ **Ἀ**λληλούϊα.

***Εἶτα τὸ,*** **Χ**ριστὸς ἀνέστη ἐκ νεκρῶν...***(ἐκ γ').***

***ὁ β' χορός Ἡ Ὑπακοὴ Ἦχος δ'*** , **Π**ρολαβοῦσαι τὸν ὄρθρον αἱ περὶ Μαριάμ, καὶ εὑροῦσαι τὸν λίθον ἀποκυλισθέντα τοῦ μνήματος, ἤκουον ἐκ τοῦ Ἀγγέλου, τὸν ἐν φωτὶ ἀϊδίῳ ὑπάρχοντα, μετὰ νεκρῶν τί ζητεῖτε ὡς ἄνθρωπον; βλέπετε τὰ ἐντάφια σπάργανα, δράμετε, καὶ τῷ κόσμῳ κηρύξατε, ὡς ἠγέρθη ὁ Κύριος, θανατώσας τὸν θάνατον, ὅτι ὑπάρχει Θεοῦ Υἱός, τοῦ σῴζοντος τὸ γένος τῶν ἀνθρώπων.

***Ἀπολυτίκιον Ἦχος α'***

῾Ο ναός σου, Θεοτόκε, ἀνεδείχθη παράδεισος, ὡς ποταμούς ἀειζώους, ἀναβλύζων ἰάματα· ᾧ προσερχόμενοι πιστῶς, ὡς Ζωοδόχου ἐκ Πηγῆς, ῥῶσιν ἀντλοῦμεν, καί ζωήν τήν αἰώνιον· πρεσβεύεις γάρ σύ, τῷ ἐκ σοῦ τεχθέντι Σωτῆρι Χριστῷ, σωθῆναι τάς ψυχάς ἡμῶν.

***ὁ α' χορός, Κοντάκιον Ἦχος πλ. δ'*** , **Ε**ἰ καὶ ἐν τάφῳ κατῆλθες ἀθάνατε, ἀλλὰ τοῦ Ἅιδου καθεῖλες τὴν δύναμιν, καὶ ἀνέστης ὡς νικητής, Χριστὲ ὁ Θεός, γυναιξὶ μυροφόροις φθεγξάμενος, Χαίρετε, καὶ τοῖς σοῖς Ἀποστόλοις εἰρήνην δωρούμενος ὁ τοῖς πεσοῦσι παρέχων ἀνάστασιν.

***Ἀντὶ δὲ τοῦ Τ ρ ι σ α γ ί ο υ, Ἦχος α',*** **Ὅ**σοι εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε, **Ἀ**λληλούϊα. ***΄Απόστολος Παρασκευῆς τῆς Διακαινησίμου· (Πράξ. γ΄1-8)., Προκείμενον Ἦχος δ'***

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε΄πάντα ἐν σοφίᾳ ἐποίησας.

***Στίχ***. Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα

Ἐν ταῖς ἡμεραῖς ἐκείναις, Πέτρος καὶ΄Ιωάννης ἀνέβαινον…

***…Εἰς τὸ Ἐξαιρέτως,ὁ α'χορὸς, Ἦχος α' ,Στίχ.*** **Ὁ**΄Αγγελος ἐβόα τῇ Κεχαριτωμένῃ· ῾Αγνή, Παρθένε χαῖρε, καί πάλιν ἐρῶ χαῖρε, ὁ σός Υἱός ἀνέστη, τριήμερος ἐκ τάφου.

**Φ**ωτίζου, φωτίζου, ἡ νέα Ἱερουσαλήμ, ἡ γὰρ δόξα Κυρίου ἐπὶ σὲ ἀνέτειλε, Χόρευε νῦν, καὶ ἀγάλλου Σιών, σὺ δὲ ἁγνή, τέρπου Θεοτόκε, ἐν τῇ ἐγέρσει τοῦ τόκου σου.

***Κοινωνικὸν ,ὁ β' χορός ,Ἦχος α',*** **Σ**ῶμα Χριστοῦ μεταλάβετε, πηγῆς ἀθανάτου γεύσασθε. ***Ἀντὶ τοῦ*** «**Ε**ἴδομεν τὸ φῶς…» ***καὶ τοῦ*** «**Ε**ἴη τὸ ὄνομα Κυρίου εὐλογημένον…» ***λέγεται τό,*** Χριστὸς ἀνέστη.***᾿Απόλυσις: Διαλογική·*** «῾Ο ἀναστάς ἐκ νεκρῶν…». **ὁ Προεξάρχων:** ***πρός τόν λαόν·*** «Χριστός ἀνέστη». **῾Ο Λαός:** «*᾿Αληθῶς ἀνέστη*», ***τό αὐτό ἐπαναλαμβάνεται ἄλλας δύο φοράς καί ἀκολούθως ἐκφωνεῖ·ὁ Προεξάρχων*: Τό·** «Δόξα τῇ Αὐτοῦ τριημέρῳ ἐγέρσει».***῾Ο Λαός: ᾿Αποκρίνεται διά τοῦ·*** «Προσκυνοῦμεν Αὐτοῦ τήν τριήμερον ἔγερσιν». **ὁ** ***Προεξάρχων: Κατακλείει διά τοῦ·*** «Χριστός ἀνέστη…» (***ὅλον***), ***καί*** **῾Ο Λαός:** ***᾿Αντιφωνεῖ·*** **«**᾿Αληθῶς ἀνέστη ὁ Κύριος».

**Πέμπτη της Αναλήψεως του Σωτηρος, *ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, Ἀντίφωνον α', Ἦχος β' , ὁ α' χορός, Στίχ. α'***

**Π**άντα τὰ ἔθνη κροτήσατε χεῖρας ἀλαλάξατε τῷ Θεῷ ἐν φωνῇ ἀγαλλιάσεως.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου Σῶτερ σῶσον ἡμᾶς.

***ὁ β' χορόςΣτίχ. β'*** **Ὅ**τι Κύριος ὕψιστος, φοβερός, βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου…

***ὁ α' χορός, Στίχ. γ'*** **Ὑ**πέταξας λαοὺς ἡμῖν, καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου…

Δόξα Πατρὶ… Καὶ νῦν… **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου…

***Ἀντίφωνον β', Ὁ αὐτὸς, Στίχ. α'.***

**Μ**έγας Κύριος, καὶ αἰνετὸς σφόδρα, ἐν πόλει τοῦ Θεοῦ ἡμῶν, ἐν ὄρει ἁγίῳ αὐτοῦ.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν δόξῃ ἀναληφθεὶς ἀφ' ἡμῶν είς τοὺς οὐρανούς, ψάλλοντάς σοι, Ἀλληλούϊα.

***ὁ α' χορὸς, Στίχ. β'.*** **Ὁ** Θεὸς ἐν ταῖς βάρεσιν αὐτῆς γινώσκεται, ὅταν ἀντιλαμβάνηται αὐτῆς. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν δόξῃ…

***ὁ β' χορὸς, Στίχ. γ'.*** **Ὅ**τι ἰδοὺ οἱ βασιλεῖς τῆς γῆς συνήχθησαν, ἤλθοσαν ἐπὶ τὸ αὐτό. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν δόξῃ…

***ὁ α' χορός*** , Δόξα Πατρί… ***ὁ β' χορός,*** Καὶ νῦν…**Ὁ** Μονογενὴς Υἱὸς καὶ Λόγος του Θεοῦ…

***Ἀντίφωνον γ',Ἦχος δ' ,ὁ α' χορός, Στίχ. α'*** **Ἀ**κούσατε ταῦτα πάντα τὰ ἔθνη.

***Ἀπολυτίκιον Ἦχος δ',*** Ἀνελήφθης ἐν δόξῃ, Χριστὲ ὁ Θεὸς ἡμῶν, χαροποιήσας τοὺς Μαθητάς, τῇ ἐπαγγελίᾳ τοῦ ἁγίου Πνεύματος, βεβαιωθέντων αὐτῶν διὰ τῆς εὐλογίας, ὅτι σὺ εἶ ὁ Υἱός τοῦ Θεοῦ, ὁ λυτρωτὴς τοῦ κόσμου.

***ὁ β' χορός, Στίχ. β'*** **Τ**ὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν. **Ἀ**νελήφθης ἐν δόξῃ…

***ὁ α' χορός, Στίχ. γ'.*** **Κ**λινῶ εἰς παραβολὴν τὸ οὖς μου, ἀνοίξω ἐν ψαλτηρίῳ τὸ πρόβλημά μου. **Ἀ**νελήφθης ἐν δόξῃ…

***Εἰσοδικὸν ὁ α' χορός***

**Ἀ**νέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ Κύριος ἐν φωνῇ σάλπιγγος. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν δόξῃ ἀναληφθεὶς ἀφ' ἡμῶν εἰς τοὺς οὐρανούς… ***ὁ β' χορὸς***…**ψ**άλλοντάς σοι, Ἀλληλούϊα.

***ὁ α' χορός, Ἀπολυτίκιον Ἦχος δ',*** Ἀνελήφθης ἐν δόξῃ, Χριστὲ ὁ Θεὸς ἡμῶν,…

***ὁ β' χορὸς,Κοντάκιον Αὐτόμελον - Ἦχος πλ. β'***

**Τ**ὴν ὑπὲρ ἡμῶν πληρώσας οἰκονομίαν, καὶ τὰ ἐπὶ γῆς ἑνώσας τοῖς οὐρανίοις, ἀνελήφθης ἐν δόξῃ, Χριστὲ ὁ Θεὸς ἡμῶν, οὐδαμόθεν χωριζόμενος, ἀλλὰ μένων ἀδιάστατος, καὶ βοῶν τοῖς ἀγαπῶσί σε, Ἐγώ εἰμι μεθ' ὑμῶν, καὶ οὐδεὶς καθ' ὑμῶν.

**<u>Τρισάγιον</u>, Ἀπόστολος, Προκείμενον Ἦχος βαρὺς**

**Ὑ**ψώθητι ἐπὶ τοὺς οὐρανούς, ὁ Θεός, καὶ ἐπὶ πᾶσαν τὴν γῆν ἡ δόξα σου.

***Στίχ.*** **Ἑ**τοίμη ἡ καρδία μου ὁ Θεός.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα

**Τ**ὸν μὲν πρῶτον λόγον ἐποιησάμην …

…***Εἰς τὸ Ἐξαιρέτως ,ὁ α' χορὸς,ᾠδὴ θ' Ὁ εἱρμὸς ἦχος πλ. α'***

**Σ**ὲ τὴν ὑπὲρ νοῦν καὶ λόγον Μητέρα Θεοῦ, τὴν ἐν χρόνῳ τὸν ἄχρονον ἀφράστως κυήσασαν, οἱ πιστοὶ ὁμοφρόνως μεγαλύνομεν**.**

***…ὁ β' χορὸς, Κοινωνικὸν ,ἦχος δ'*** , **Ἀ**νέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος, **Ἀ**λληλούϊα.

***…Ἀντὶ τοῦ*** «**Ε**ἴδομεν τὸ φῶς…» , ***ὁ α' χορὸς ψάλλει τό, Ἀπολυτίκιον Ἦχος δ'***, **Ἀ**νελήφθης ἐν δόξῃ, Χριστὲ ὁ Θεὸς ἡμῶν, …

**21-5. Πέμπτη της Αναλήψεως του Σωτηρος, *ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, Ἀντίφωνον α', Ἦχος β' , ὁ α' χορός, Στίχ. α'***

**Π**άντα τὰ ἔθνη κροτήσατε χεῖρας …

***Εἰσοδικὸν ὁ α' χορός***

**Ἀ**νέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ Κύριος ἐν φωνῇ σάλπιγγος. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν δόξῃ ἀναληφθεὶς ἀφ' ἡμῶν εἰς τοὺς οὐρανούς… ***ὁ β' χορὸς***…**ψ**άλλοντάς σοι, Ἀλληλούϊα.

***ὁ α' χορός, Ἀπολυτίκιον Ἦχος δ',*** Ἀνελήφθης ἐν δόξῃ, Χριστὲ ὁ Θεὸς ἡμῶν,…

Δόξα… ***Τοῦ Μηναίου. Ἦχος πλ. δ΄.*** Τοῦ Σταυροῦ σου τὸν τὺπον ἐν οὐρανῷ θεασάμενος, καὶ ὡς ὁ Παῦλος τὴν κλῆσιν οὐκ ἐξ ἀνθρώπων δεξάμενος, ὁ ἐν βασιλεῦσιν Ἀπόστολός σου Κύριε, Βασιλεύουσαν πόλιν τῇ χειρί σου παρέθετο· ἣν περίσῳζε διὰ παντὸς ἐν εἰρήνῃ, πρεσβείαις τῆς Θεοτόκου, μόνε Φιλάνθρωπε.

***ὁ β' χορὸς,Κοντάκιον Αὐτόμελον - Ἦχος πλ. β'***

**Τ**ὴν ὑπὲρ ἡμῶν πληρώσας οἰκονομίαν, καὶ τὰ ἐπὶ γῆς ἑνώσας τοῖς οὐρανίοις, ἀνελήφθης ἐν δόξῃ, Χριστὲ ὁ Θεὸς ἡμῶν, οὐδαμόθεν χωριζόμενος, ἀλλὰ μένων ἀδιάστατος, καὶ βοῶν τοῖς ἀγαπῶσί σε, Ἐγώ εἰμι μεθ' ὑμῶν, καὶ οὐδεὶς καθ' ὑμῶν.

**Τρισάγιον**, ***ΑΠΟΣΤΟΛΟΣ. Προκείμενον. Ἦχος πλ. δ΄.***

Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν.

***Στίχ. α΄.*** Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλει τὸ στερέωμα.

***Στίχ. β΄.*** Οὐκ εἰσὶ λαλιαὶ οὐδὲ λόγοι, ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν.

Πράξεων τῶν Ἀποστόλων τὸ Ἀνάγνωσμα. ***(κϚ΄ 1, 12-20).***

Ἐν ταῖς ἡμέραις ἐκείναις, Ἀγρίππας ὁ βασιλεὺς …

…***Εἰς τὸ Ἐξαιρέτως ,ὁ α' χορὸς,ᾠδὴ θ' Ὁ εἱρμὸς ἦχος πλ. α'***

**Σ**ὲ τὴν ὑπὲρ νοῦν καὶ λόγον Μητέρα Θεοῦ, τὴν ἐν χρόνῳ τὸν ἄχρονον ἀφράστως κυήσασαν, οἱ πιστοὶ ὁμοφρόνως μεγαλύνομεν.

***...ὁ β' χορὸς, Κοινωνικὸν ,ἦχος δ'*** , **Ἀ**νέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος, **Ἀ**λληλούϊα***....Ἀντὶ τοῦ*** «**Ε**ἴδομεν τὸ φῶς...» , ***ὁ α' χορὸς ψάλλει τό, Ἀπολυτίκιον Ἦχος δ'***, **Ἀ**νελήφθης ἐν δόξῃ, Χριστὲ ὁ Θεὸς ἡμῶν, …

**Δευτέρα του Αγίου Πνεύματος,** ***ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, Ἀντίφωνον Α', Ἦχος β',Στίχ.***

**Ο**ἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν αὐτοῦ ἀναγγέλλει τὸ στερέωμα.

***ὁ α' χορὸς,*** Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

***Στίχ.*** **Ἡ**μέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα καὶ νὺξ νυκτὶ ἀναγγέλλει γνῶσιν. ***ὁ β' χορὸς*** **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***Στίχ.*** **Ο**ὐκ εἰσὶ λαλιαὶ οὐδὲ λόγοι ὧν οὐχὶ ἀκούονται αἱ φωναὶ αὐτῶν. ***ὁ α' χορὸς*** **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου.

***Στίχ.*** **Ε**ἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. ***ὁ β' χορὸς,*** **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

Δόξα Πατρὶ... Καὶ νῦν...***Οἱ δύο χοροὶ ὁμοῦ*** , **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***Ἀντίφωνον Β',Στίχ.***

**Ἐ**πακούσαι σου Κύριος ἐν ἡμέρᾳ θλίψεως, ὑπερασπίσαι σου τὸ ὄνομα τοῦ Θεοῦ Ἰακώβ.

***ὁ β' χορὸς,*** Σῶσον ἡμᾶς, Παράκλητε ἀγαθέ, ψάλλοντάς σοι, Ἀλληλούϊα.

***Στίχ.*** **Ἐ**ξαποστείλαι σοι βοήθειαν ἐξ ἁγίου, καὶ ἐκ Σιὼν ἀντιλάβοιτό σου. ***ὁ α' χορὸς,*** **Σ**ῶσον ἡμᾶς, Παράκλητε ἀγαθέ…
***Στίχ.,*** **Μ**νησθείη πάσης θυσίας σου, καὶ τὸ ὁλοκαύτωμά σου πιανάτω. ***ὁ β' χορὸς,*** **Σ**ῶσον ἡμᾶς, Παράκλητε ἀγαθέ…
***ὁ α' χορὸς,*** Δόξα Πατρὶ… ***ὁ β' χορός,*** Καὶ νῦν καὶ ἀεὶ καὶ είς τοὺς αἰῶνας τῶν αἰώνων.Ἀμήν. **Ὁ** μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ,…
***Ἀντίφωνον Γ',Στίχ.***
**Κ**ύριε, ἐν τῇ δυνάμει σου εὐφρανθήσεται ὁ Βασιλεύς, καὶ ἐπὶ τῷ σωτηρίῳ σου ἀγαλλιάσεται σφόδρα.
***ὁ α' χορὸς , Ἦχος πλ. δ'***
Εὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν, ὁ πανσόφους τοὺς ἁλιεῖς ἀναδείξας, καταπέμψας αὐτοῖς τὸ Πνεῦμα τὸ ἅγιον, καὶ δι' αὐτῶν τὴν οἰκουμένην σαγηνεύσας, φιλάνθρωπε, δόξα σοι.
***Στίχ.*** **Τ**ὴν ἐπιθυμίαν τῆς καρδίας αὐτοῦ ἔδωκας αὐτῷ καὶ τὴν θέλησιν τῶν χειλέων αὐτοῦ οὐκ ἐστέρησας αὐτόν. ***ὁ β' χορὸς,*** **Ε**ὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν…
***Στίχ.*** **Ὅ**τι προέφθασας αὐτὸν ἐν εὐλογίαις χρηστότητος, ἔθηκας ἐπὶ τὴν κεφαλὴν αὐτοῦ στέφανον ἐκ λίθου τιμίου. ***ὁ α' χορὸς*** **Ε**ὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν…
***Στίχ.*** **Ζ**ωὴν ᾐτήσατό σε, καὶ ἔδωκας αὐτῷ μακρότητα ἡμερῶν είς αἰῶνα αἰῶνος. ***ὁ β' χορὸς*** **Ε**ὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν…
***Εἰσοδικὸν, ὁ α' χορός,***
**Ὑ**ψώθητι, Κύριε, ἐν τῇ δυνάμει σου, ᾄσωμεν καὶ ψαλοῦμεν τὰς δυναστείας σου, Σῶσον ἡμᾶς, Παράκλητε ἀγαθέ…***ὁ β' χορὸς***…**ψ**άλλοντάς σοι. Ἀλληλούϊα**.**
***ὁ α' χορός,Ἦχος πλ. δ',*** **Ε**ὐλογητὸς εἶ, Χριστὲ ὁ Θεὸς ἡμῶν,…
……………………………………………………………..
***24-6, ὁ β' χορὸς, Ἀπολυτίκιον τοῦ Προδρόμου Ἦχος δ'***
Προφῆτα καὶ Πρόδρομε, τῆς παρουσίας Χριστοῦ, ἀξίως εὐφημῆσαί σε οὐκ εὐποροῦμεν ἡμεῖς, οἱ πόθῳ τιμῶντές σε, στείρωσις γὰρ τεκούσης, καὶ πατρὸς ἀφωνία, λέλυνται τῇ ἐνδόξῳ, καὶ σεπτῇ σου γεννήσει, καὶ σάρκωσις Υἱοῦ τοῦ Θεοῦ, κόσμῳ κηρύττεται.
***……………………………………………………………***
***Κοντάκιον ,ὁ β' χορὸς ,*** **Ἦχος πλ. δ'**
**Ὅ**τε καταβὰς τὰς γλώσσας συνέχεε, διεμέριζεν ἔθνη ὁ Ὕψιστος, ὅτε τοῦ πυρὸς τὰς γλώσσας διένειμεν, είς ἑνότητα πάντας ἐκάλεσε, καὶ συμφώνως δοξάζομεν τὸ πανάγιον Πνεῦμα.
***Ἀντὶ δὲ τοῦ ΤρισαγίουἮχος α':*** **Ὅ**σοι είς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε,΄**Ἀ**λληλούϊα.
***Ἀπόστολος: Τῆς ἡμέρας· Δευτέρας α΄ ἑβδομάδος Ἐπιστολῶν. Προκείμενον ἦχος πλ.δ'***

Σῶσον, Κύριε, τὸν λαὸν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου.
***Στίχ.*** Πρὸς σέ, Κύριε κεκράξομαι ὁ Θεὸς μου.
Πρὸς Ἐφεσίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα. ***(Ἐφεσ. ε΄ 8-19).***
Ἀδελφοί, ὡς τέκνα φωτὸς περιπατεῖτε …

***...Εἰς τὸ Ἐξαιρέτως, Ὁ Εἱρμὸς τῆς θ'ᾠδῆς ἦχος δ'***
Χαίροις Ἄνασσα, μητροπάρθενον κλέος.
Ἅπαν γὰρ εὐδίνητον εὔλαλον στόμα,
Ῥητρεῦον, οὐ σθένει σε μέλπειν ἀξίως.
Ἰλιγγιᾷ δὲ νοῦς ἅπας σου τὸν τόκον
Νοεῖν, ὅθεν σε συμφώνως δοξάζομεν.
***…Κοινωνικὸν, ἦχος α':*** Τὸ Πνεῦμά σου το ἅγιον μὴ ἀντανέλῃς ἀφ'ἡμῶν, δεόμεθα φιλάνθρωπε. Ἀλληλούϊα.

**20-7, *ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, Ἀντίφωνον α', Ἦχος β', ὁ α' χορὸς, Στίχ. α'.***
**Ἀ**γαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.
***ὁ β'χορὸς, Στίχ. β'.*** **Τ**οῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...
***ὁ α' χορὸς , Στίχ. γ'.*** **Ὅ**τι εὐθὺς Κύριος ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...
Δόξα Πατρί... Καὶ νῦν...**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...
***Ἀντίφωνον β', ὁ β'χορὸς, Στίχ. α'.***
**Δ**εῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἀλαλάξωμεν τῷ Θεῷ τῷ Σωτῆρι ἡμῶν.
Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι, Ἀλληλούϊα.
***ὁ α' χορὸς, Στίχ. β'.*** **Π**ροφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν αὐτῷ, ὅτι Θεὸς μέγας, Κύριος καὶ Βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν. **Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός...
***ὁ β' χορὸς, Στίχ. γ'.*** **Ὅ**τι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς, καὶ τὰ ὕψη τῶν ὀρέων αὐτοῦ εἰσιν, ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα, καὶ αὐτὸς ἐποίησεν αὐτήν, καὶ τὴν ξηράν αἱ χεῖρες αὐτοῦ ἔπλασαν.
**Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός...
***ὁ α' χορὸς***, Δόξα Πατρὶ...***ὁ β' χορὸς***, Καὶ νῦν...**Ὁ** Μονογενὴς Υἱὸς καὶ Λόγος του Θεοῦ,...
***Ἀντίφωνον Γ', ὁ α' χορός, Στίχ. α΄.***

**Μ**ὴ ἅπτεσθε τῶν χριστῶν μου, καὶ ἐν τοῖς Προφήταις μου μὴ πονηρεύεσθε.
***Ἀπολυτίκιον Ἦχος δ', Ταχὺ προκατάλαβε***
Ὁ ἔνσαρκος ἄγγελος, τῶν Προφητῶν ἡ κρηπίς, ὁ δεύτερος Πρόδρομος τῆς παρουσίας Χριστοῦ, Ἠλίας ὁ ἔνδοξος, ἄνωθεν καταπέμψας, Ἐλισσαίῳ τὴν χάριν, νόσους ἀποδιώκει, καὶ λεπροὺς καθαρίζει, διὸ καὶ τοῖς τιμῶσιν αὐτὸν βρύει ἰάματα.
***ὁ β' χορός, Στίχ. β΄.*** **Σ**ὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ. **Ὁ** ἔνσαρκος ἄγγελος...
***Εἰσοδικὸν, ὁ α' χορός,*** **Δ**εῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστὸς.....***ὁ β' χορὸς***...**ψ**άλλοντάς σοι΄, **Ἀ**λληλούϊα.
***ὁ α' χορός , Ἀπολυτίκιον Ἦχος δ', Ταχὺ προκατάλαβε,*** **Ὁ** ἔνσαρκος ἄγγελος, τῶν Προφητῶν…
***ὁ β' χορός,*** **Τοῦ <u>Ναοῦ</u>**
***ὁ α' χορός , Κοντάκιον Ἦχος β',*** **Π**ροστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε, Μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον, ὡς ἀγαθή, εἰς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι. Τάχυνον εἰς πρεσβείαν, καὶ σπεῦσον εἰς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί, Θεοτόκε, τῶν τιμώντων σε.
**<u>Τρισάγιον,</u>** ***Ἀπόστολος (Ἰακ. ε΄ 10-20).*** **Προκείμενον ἦχος α'.**
**Σ**ὺ ἱερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδέκ.
***Στίχ.*** **Ε**ἶπεν ὁ Κύριος τῷ Κυρίῳ μου΄ Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθροὺς σου ὑποπόδιον τῶν ποδῶν σου.
Καθολικῆς Ἐπιστολῆς Ἰακώβου τὸ Ἀνάγνωσμα
**Ἀ**δελφοί, ὑπόδειγμα λάβετε, τῆς κακοπαθείας …
***...ὁ β' χορός , Κοινωνικὸν,*** **Ἀ**γαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ, τοῖς εὐθέσι πρέπει αἴνεσις. **Ἀ**λληλούϊα.

**25-7,** ***ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, Ἀντίφωνον α', Ἦχος β', ὁ α' χορὸς, Στίχ. α'.***
**Ἀ**γαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, καὶ ψάλλειν τῷ ὀνόματί σου, Ὕψιστε.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.
***ὁ β'χορὸς, Στίχ. β'.*** **Τ**οῦ ἀναγγέλλειν τὸ πρωῒ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου κατὰ νύκτα. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...
***ὁ α' χορὸς , Στίχ. γ'.*** **Ὅ**τι εὐθὺς Κύριος ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστιν ἀδικία ἐν αὐτῷ.
**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...
Δόξα Πατρί... Καὶ νῦν...**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***Ἀντίφωνον β', ὁ β'χορὸς, Στίχ. α'.***

**Δ**εῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, ἀλαλάξωμεν τῷ Θεῷ τῷ Σωτῆρι ἡμῶν.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι, Ἀλληλούϊα.

***ὁ α' χορὸς , Στίχ. β'.*** **Π**ροφθάσωμεν τὸ πρόσωπον αὐτοῦ ἐν ἐξομολογήσει, καὶ ἐν ψαλμοῖς ἀλαλάξωμεν αὐτῷ, ὅτι Θεὸς μέγας, Κύριος καὶ Βασιλεὺς μέγας ἐπὶ πᾶσαν τὴν γῆν.

**Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός...

***ὁ β' χορὸς, Στίχ. γ'.*** **Ὅ**τι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς, καὶ τὰ ὕψη τῶν ὀρέων αὐτοῦ εἰσιν, ὅτι αὐτοῦ ἐστιν ἡ θάλασσα, καὶ αὐτὸς ἐποίησεν αὐτήν, καὶ τὴν ξηράν αἱ χεῖρες αὐτοῦ ἔπλασαν.

**Σ**ῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός...

***ὁ α' χορὸς***, Δόξα Πατρὶ...***ὁ β' χορὸς***, Καὶ νῦν...**Ὁ** Μονογενὴς Υἱὸς καὶ Λόγος του Θεοῦ,...

***Ἀντίφωνον Γ', ὁ α' χορός,Στίχ. α΄.***

**Ἀ**γαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ, τοῖς εὐθέσι πρέπει αἴνεσις.

***Ἀπολυτίκιον. Ἦχος δ΄. Ταχὺ προκατάλαβε***

Ζωὴν τὴν κυήσασαν, ἐκυοφόρησας, ἁγνὴν Θεομήτορα, θεόφρον Ἄννα, διὸ πρὸς λῆξιν οὐράνιον, ἔνθα εὐφραινομένων, κατοικίᾳ ἐν δόξῃ, χαίρουσα νῦν μετέστης, τοῖς τιμῶσί σε πόθῳ, πταισμάτων αἰτουμένη, ἱλασμὸν ἀειμακάριστε.

***ὁ β' χορός, Στίχ. β΄.*** **Μ**ακάριοι πάντες οἱ φοβούμενοι τὸν Κύριον.

**Ζ**ωὴν τὴν κυήσασαν,...

***Εἰσοδικὸν ὁ α' χορός,***

**Δ**εῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστὸς.....***ὁ β' χορὸς***...**ψ**άλλοντάς σοι΄ Ἀλληλούϊα.

***ὁ α' χορός, Ἀπολυτίκιον***

**Ζ**ωὴν τὴν κυήσασαν, ἐκυοφόρησας, **...**

***Τοῦ*** **<u>Ναοῦ</u>** , ***ὁ β' χορός,Κοντάκιον Ἦχος β' Ἦχος β'. Τὰ ἄνω ζητῶν***

**Π**ρογόνων Χριστοῦ, τὴν μνήμην ἑορτάζομεν, τὴν τούτων πιστῶς, αἰτούμενοι βοήθειαν, τοῦ ῥυσθῆναι ἅπαντας, ἀπὸ πάσης θλίψεως, τοὺς κραυγάζοντας, ὁ Θεὸς γενοῦ μεθ' ἡμῶν, ὁ τούτους δοξάσας ὡς ηὐδόκησας.

**<u>Τρισάγιον</u>. *Ἀπόστολος***, *Προκείμενον ἦχος δ'*

**Θ**αυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

***Στίχ.***'**Ε**ν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.

Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα

**Ἀ**δελφοί, Ἀβραὰμ δύο υἱοὺς ἔσχεν,...

***…Κοινωνικὸν***, Ἀγαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ, τοῖς εὐθέσι πρέπει αἴνεσις. Ἀλληλούϊα.

**26-7, *ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, Ἀντίφωνον Α', Ὁ α' χορός, Ἦχος β΄. Στίχ. α΄.***

Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.

***ὁ β' χορός, Στίχ. β΄.*** Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ. Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

***ὁ α' χορός, Στίχ. γ΄.*** Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει. Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

***ὁ β' χορός,*** Δόξα Πατρὶ…, ***ὁ α' χορός,*** Καὶ νῦν...Ταῖς πρεσβείαις τῆς Θεοτόκου…

***Ἀντίφωνον Β', Ἦχος ὁ αὐτὸς., ὁ β' χορός***

***Στίχ. α΄.*** Αἴνει, ἡ ψυχή μου, τὸν Κύριον αἰνέσω Κύριον ἐν τῇ ζωῇ μου ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι΄ Ἀλληλούϊα.

***ὁ α' χορός, Στίχ. β΄.*** Μακάριος, οὗ ὁ Θεὸς Ἰακὼβ βοηθὸς αὐτοῦ, ἡ ἐλπὶς αὐτοῦ ἐπὶ Κύριον τὸν Θεὸν αὐτοῦ. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός,...

***ὁ β' χορός, Στίχ. γ΄.*** Βασιλεύσει Κύριος εἰς τὸν αἰῶνα, ὁ Θεός σου, Σιών, εἰς γενεὰν καὶ γενεάν. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός,...

***ὁ α' χορός,*** Δόξα Πατρὶ... ***ὁ β' χορός,*** Καὶ νῦν καὶ ἀεὶ...Ὁ μονογενὴς Υἱὸς καὶ Λόγος …

***Ἀντίφωνον Γ',ὁ α' χορός,Στίχ α'.***

῾Υπομένων ὑπέμεινα τόν Κύριον, καί προσέσχε μοι καί εἰσήκουσε τῆς δεήσεώς μου.

***Ἀπολυτίκιον. Ἦχος α΄.*** Τὴν σπουδήν σου τῇ κλήσει κατάλληλον, ἐργασαμένη φερώνυμε, τὴν ὁμώνυμόν σου πίστιν εἰς κατοικίαν κεκλήρωσαι, Παρασκευὴ ἀθληφόρε, ὅθεν προχέεις ἰάματα, καὶ πρεσβεύεις ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

***ὁ β' χορός, Στίχ. β΄.*** Καί ἔστησεν ἐπί πέτραν τούς πόδας μου, καί κατηύθυνε τά διαβήματά μου. Τὴν σπουδήν σου τῇ κλήσει κατάλληλον,...

***Εἰσοδικὸν, ὁ α' χορός,*** Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστὸς…***ὁ β' χορὸς…***ψάλλοντάς σοι, Ἀλληλούϊα.

***ὁ α' χορός ,Ἀπολυτίκιον. Ἦχος α΄.*** Τὴν σπουδήν σου τῇ κλήσει …

***ὁ β' χορὸς ,*Τοῦ <u>Ναοῦ,</u> *ὁ α' χορός,Κοντάκιον Ἦχος β'***

Προστασία τῶν Χριστιανῶν ἀκαταίσχυντε, μεσιτεία πρὸς τὸν Ποιητὴν ἀμετάθετε, μὴ παρίδῃς ἁμαρτωλῶν δεήσεων φωνάς, ἀλλὰ πρόφθασον, ὡς ἀγαθή, είς τὴν βοήθειαν ἡμῶν, τῶν πιστῶς κραυγαζόντων σοι. Τάχυνον είς πρεσβείαν, καὶ σπεῦσον είς ἱκεσίαν, ἡ προστατεύουσα ἀεί, Θεοτόκε, τῶν τιμώντων σε.

**<u>Τρισάγιον</u>. *Ἀπόστολος (Γαλ. γ΄ 23 – δ΄ 5), Τῆς ῾Αγίας· Προκείμενον ἦχος δ'***

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

***Στίχ.***Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.

Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Ἀδελφοί, πρὸ τοῦ ἐλθεῖν τὴν πίστιν …

***…ὁ β' χορός, Κοινωνικὸν:*** Είς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα**.**

**27-7,*ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, ΑΝΤΙΦΩΝΑ, Ἀντίφωνον α', Ἦχος β', ὁ α' χορὸς, Στίχ. α'.***

Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, …

***Ἀντίφωνον Γ', ὁ α' χορός, Στίχ. α΄.***

Δίκαιος ὡς φοῖνιξ ἀνθήσει καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

***Ἀπολυτίκιον Ἦχος γ',*** Ἀθλοφόρε ἅγιε, καὶ ἰαματικὲ Παντελεῆμον, πρέσβευε τῷ ἐλεήμονι Θεῷ, ἵνα πταισμάτων ἄφεσιν, παράσχῃ ταῖς ψυχαῖς ἡμῶν.

***Εἰσοδικὸν, ὁ α' χορός***

Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστὸς…..***ὁ β' χορὸς…***ψάλλοντάς σοι, Ἀλληλούϊα.

***ὁ α' χορός, Ἀπολυτίκιον Ἦχος γ'***

Ἀθλοφόρε ἅγιε, …

***ὁ β' χορός, <u>Τοῦ Ναοῦ,</u> ὁ α' χορός, Κοντάκιον,Αὐτόμελον Ἦχος βαρὺς***

Ἐπὶ τοῦ ὄρους μετεμορφώθης, καὶ ὡς ἐχώρουν οἱ Μαθηταί σου τὴν δόξαν σου, Χριστὲ ὁ Θεὸς ἐθεάσαντο, ἵνα ὅταν σὲ ἴδωσι σταυρούμενον, τὸ μὲν πάθος νοήσωσιν ἑκούσιον, τῷ δὲ κόσμῳ κηρύξωσιν, ὅτι σὺ ὑπάρχεις ἀληθῶς, τοῦ Πατρὸς τὸ ἀπαύγασμα.

**Τρισάγιον.** ***Ἀπόστολος (Β΄ Τιμ. β΄ 1-10),Τοῦ  ῾Αγίου·Προκείμενον ἦχος βαρύς.***
Εὐφρανθήσεται δίκαιος ἐν τῷ Κυρίῳ.
***Στίχ.*** Εἰσάκουσον, ὁ Θεός, τῆς φωνῆς μου.
Πρὸς Τιμόθεον Β΄ Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.
Τέκνον Τιμόθεε, ἐνδυναμοῦ ἐν τῇ χάριτι…
***…ὁ β΄ χορός, Κοινωνικὸν,*** Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

**8-9, ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ**, ***ΑΝΤΙΦΩΝΑ, Ἀντίφωνον Α', ὁ α΄ χορὸς, Στίχ. α'.***
**Μ**νήσθητι Κύριε τοῦ Δαυΐδ καὶ πάσης τῆς πρᾳότητος αὐτοῦ.
**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.
***ὁ β΄ χορός,Στίχ. β'.*** **Ἰ**δοὺ ἠκούσαμεν αὐτὴν ἐν Ἐφραθᾷ, εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ.
**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...
***ὁ α΄ χορὸς,Στίχ. γ'.*** **Δ**εδοξασμένα ἐλαλήθη περὶ σοῦ ἡ πόλις τοῦ Θεοῦ.
**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...
***ὁ β΄ χορός ,Στίχ. δ'.*** **Ὁ** Θεὸς ἐν μέσῳ αὐτῆς καὶ οὐ σαλευθήσεται.
**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...
***ὁ α΄ χορός,*** Δόξα Πατρί...***ὁ β΄ χορός,*** Καὶ νῦν…
**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...
***Ἀντίφωνον Β',ὁ β΄ χορός,Στίχ. α'.***
**Ὤ**μοσε Κύριος τῷ Δαυΐδ ἀλήθειαν καὶ οὐ μὴ ἀθετήσει αὐτήν.
**Σ**ῷσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι. Ἀλληλούϊα.
***ὁ α΄ χορὸς,Στίχ. β'.*** **Ἐ**κ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τοῦ θρόνου σου.
**Σ**ῷσον ἡμᾶς Υἱὲ Θεοῦ...
***ὁ β΄ χορός,Στίχ. γ'.*** **Ἐ**κεῖ ἐξανατελῶ κέρας τῷ Δαυΐδ, ἡτοίμασα λύχνον τῷ Χριστῷ μου.
**Σ**ῷσον ἡμᾶς Υἱὲ Θεοῦ...
***ὁ α΄ χορὸς ,Στίχ. δ'.*** **Ὅ**τι ἐξελέξατο Κύριος τὴν Σιών, ᾑρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ.
**Σ**ῷσον ἡμᾶς Υἱὲ Θεοῦ...
***ὁ β΄ χορός,*** Δόξα Πατρὶ... ***ὁ α΄ χορός,*** Καὶ νῦν... ***ὁ β΄ χορός,*** **Ὁ** μονογενὴς Υἱὸς καὶ Λόγος …
***Ἀντίφωνον Γ',ὁ α΄ χορὸς,Στίχ. α'.*** **Ὧ**δε κατοικήσω, ὅτι ᾑρετισάμην αὐτήν.
***Ἦχος δ',*** **Ἡ** γέννησίς σου Θεοτόκε, χαρὰν ἐμήνυσε πάσῃ τῇ οἰκουμένῃ΄ ἐκ σοῦ γὰρ ἀνέτειλεν ὁ Ἥλιος τῆς δικαιοσύνης, Χριστὸς ὁ

Θεὸς ἡμῶν΄ καὶ λύσας τὴν κατάραν, ἔδωκε τὴν εὐλογίαν΄ καὶ καταργήσας τὸν θάνατον, ἐδωρήσατο ἡμῖν ζωὴν τὴν αἰώνιον.
***ὁ β' χορός, Στίχ. β' .*** **Ἡ**γίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος. **Ἡ** γέννησίς σου Θεοτόκε...
***ὁ α' χορὸς,Στίχ. γ'.*** **Ἅγ**ιος ὁ ναός σου, θαυμαστὸς ἐν δικαιοσύνῃ. **Ἡ** γέννησίς σου Θεοτόκε...
***Μικρὰ Εἴσοδος. Εἰσοδικὸν,ὁ α' χορός , Ἦχος β',***
**Δ**εῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστός.....***ὁ β' χορὸς***...**ψ**άλλοντάς σοι, Ἀλληλούϊα.
**ὁ α' χορός,,** ***Ἦχος δ',*** **Ἡ** γέννησίς σου Θεοτόκε, ...
***ὁ β' χορὸς,Κοντάκιον Ἦχος δ' ,Αὐτόμελον***
**Ἰ**ωακεὶμ καὶ Ἄννα ὀνειδισμοῦ ἀτεκνίας, καὶ Ἀδὰμ καὶ Εὔα, ἐκ τῆς φθορᾶς τοῦ θανάτου, ἠλευθερώθησαν Ἄχραντε, ἐν τῇ ἁγίᾳ γεννήσει σου΄ αὐτὴν ἑορτάζει καὶ ὁ λαός σου, ἐνοχῆς τῶν πταισμάτων, λυτρωθεὶς ἐν τῷ κράζειν σοι΄ Ἡ στεῖρα τίκτει τὴν Θεοτόκον, καὶ τροφὸν τῆς ζωῆς ἡμῶν.
**Τρισάγιον,*Ἀπόστολος (Φιλιπ. β΄ 5-11).,Τῆς Ἑορτῆς·,Προκείμενον ἦχος γ'***
**Μ**εγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ Σωτῆρί μου.
***Στίχ.*** **Ὅ**τι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ·
**Π**ρὸς Φιλιππησίους Ἐπιστολῆς Παύλου τὸ ἀνάγνωσμα
**Ἀ**δελφοί, τοῦτο φρονείσθω ἐν ὑμῖν ...
***...Εἰς τό, Ἐξαιρέτως ,ὁ α' χορός,Ἦχος πλ.δ',Ὁ Εἱρμὸς***
**Ἀ**λλότριον τῶν μητέρων ἡ παρθενία, καὶ ξένον ταῖς παρθένοις ἡ παιδοποιΐα΄ ἐπὶ σοὶ Θεοτόκε ἀμφότερα ᾠκονομήθη. Διό σε πᾶσαι αἱ φυλαὶ τῆς γῆς, ἀπαύστως μακαρίζομεν.
***...Κοινωνικὸν,ὁ β' χορός,ἦχος δ'***
**Π**οτήριον σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι. **Ἀ**λληλούϊα.

**28-10,** ***ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, ΑΝΤΙΦΩΝΑ , Ἀντίφωνον Α' ,Ἦχος β΄. , ὁ α' χορός, Στίχ. α'.***
**Π**αρέστη ἡ βασίλισσα ἐκ δεξιῶν σου, ἐν ἱματισμῷ διαχρύσῳ περιβεβλημένη, πεποικιλμένη.
Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ σῶσον ἡμᾶς.
***ὁ β' χορὸς, Στίχ. β'.*** **Π**ᾶσα ἡ δόξα τῆς θυγατρὸς τοῦ βασιλέως ἔσωθεν. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...
***ὁ α' χορός, Στίχ. γ'.*** **Τ**ὸ πρόσωπόν σου λιτανεύσουσιν οἱ πλούσιοι τοῦ λαοῦ σου. **Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

**ὁ β' χορὸς**, Δόξα Πατρί... Καὶ νῦν**. Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

***Ἀντίφωνον Β',ὁ β' χορὸς,Στίχ. α'.***

**Τ**ῆς αἰνέσεώς σου, Κύριε, πλήρης πᾶσα ἡ γῆ. Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ ἐν Ἁγίοις θαυμαστός, ψάλλοντάς σοι, Ἀλληλούϊα.

***ὁ α' χορός,Στίχ. β'.*** **Ἡ**μέρα Κυρίου ἐπὶ πάντα ὑβριστὴν καὶ ὑπερήφανον καὶ ἐπὶ πάντα ὑψηλὸν καὶ μετέωρον. **Σ**ῶσον ἡμᾶς Υἱὲ Θεοῦ...

***ὁ β' χορὸς,Στίχ. γ'.*** **Κ**ύριος Σαβαὼθ συνταράσσει τοὺς ἐνδόξους μετὰ ἰσχύος, καὶ οἱ ὑψηλοὶ τῇ ὕβρει συντριβήσονται. **Σ**ῶσον ἡμᾶς Υἱὲ Θεοῦ...

**ὁ α' χορός,** Δόξα Πατρὶ... **ὁ β' χορός,** Καὶ νῦν**...Ὁ** μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ...

***Ἀντίφωνον Γ',ὁ α' χορός ,Στίχ. α'.***

**Μ**νησθήσομαι τοῦ ὀνόματός σου ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ.

***Ἦχος α' . Τῆς ἐρήμου πολίτης***

Τῆς Σκέπης σου Παρθένε, ἀνυμνοῦμεν τάς χάριτας, ἣν ὡς φωτοφόρον νεφέλην, ἐφαπλοῖς ὑπὲρ ἔννοιαν, καὶ σκέπεις τὸν λαόν σου νοερῶς, ἐκ πάσης τῶν ἐχθρῶν ἐπιβουλῆς. Σὲ γὰρ σκέπην καὶ προστάτιν καὶ βοηθόν, κεκτήμεθα βοῶντές σοι· Δόξα τοῖς μεγαλείοις σου Ἁγνή, δόξα τῇ θείᾳ Σκέπῃ σου, δόξα τῇ πρὸς ἡμᾶς σου, προμηθείᾳ Ἄχραντε.

***ὁ β' χορός,Στίχ. β'.*** **Δ**ιὰ τοῦτο λαοὶ ἐξομολογήσονται σοι εἰς τὸν αἰῶνα καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. **Τ**ῆς Σκέπης σου, Παρθένε...

***ὁ α' χορός,Στίχ. γ'.*** **Σ**μύρνα καὶ στακτὴ καὶ κασία ἀπὸ τῶν ἱματίων σου. **Τ**ῆς Σκέπης σου, Παρθένε...

***Μικρὰ Εἴσοδος. , Εἰσοδικὸν, ὁ α' χορός , Ἦχος β'***

**Δ**εῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστός...***ὁ β' χορὸς***, ...**ψ**άλλοντάς σοι, Ἀλληλούϊα.

***ὁ α' χορός, ,τὸ ἀπολυτίκιον τῆς Ἑορτῆς,Ἦχος α'. Τῆς ἐρήμου πολίτης,***
**Τ**ῆς Σκέπης σου Παρθένε, ...

***ὁ β' χορὸς,Ἕτερον. Ἦχος πλ. δ', Θεοτόκε Ἀειπάρθενε.***

**Θ**εοτόκε Ἀειπάρθενε, τὴν ἁγίαν σοῦ Σκέπην, δι' ἧς περισκέπεις, τοὺς εἰς σὲ ἐλπίζοντας, κραταιὰν τῷ Ἔθνει σου καταφυγὴν ἐδωρήσω· ὅτι ὡς πάλαι καὶ νῦν θαυμαστῶς ἡμᾶς ἔσωσας, ὡς νοητὴ νεφέλη, τὸν σὸν λαὸν περιβαλοῦσα. Διὸ δυσωποῦμεν σε, εἰρήνην τῇ πολιτείᾳ σου δώρησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

**ὁ α' χορός,Τοῦ <u>Ναοῦ</u>** ,***ὁ β' χορὸς, Κοντάκιον. Ἦχος πλ. δ'. ,Τῇ ὑπερμάχῳ.***

**Ὥ**σπερ νεφέλη ἀγλαῶς ἐπισκιάζουσα, τῆς Ἐκκλησίας τὰ πληρώματα Πανάχραντε, ἐν τῇ πόλει πάλαι ὤφθης τῇ Βασιλίδι. Ἀλλ' ὡς σκέπη τοῦ

λαοῦ σου καὶ ὑπέρμαχος, περισκέπασον ἡμᾶς ἐκ πάσης θλίψεως, τοὺς κραυγάζοντας· Χαῖρε Σκέπη ὁλόφωτε.
***Τρισάγιον.**, ***Ἀπόστολος τῆς Θεοτόκου (Ἑβρ.Θ΄ 1-7),Προκείμενον ἦχος γ΄.***
**Μ**εγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.
***Στίχ.*** **Ὅ**τι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ.
Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.
**Ἀ**δελφοί, εἶχεν ἡ πρώτη σκηνὴ …
….***Είς τό, Ἐξαιρέτως ,ὁ α΄ χορός,ἦχος δ΄,*****Στίχ.** **Ἄ**γγελοι τὴν Σκέπην τῆς Θεοτόκου, ἐν ὕμνοις μεγαλύνουσιν, ὅτι πιστῶν τάς χορείας, ἀπανταχοῦ περισκέπει. **Ἅ**πας γηγενής, σκιρτάτω τῷ πνεύματι λαμπαδουχούμενος· πανηγυριζέτω δέ, ἀΰλων νόων φύσις γεραίρουσα, τὴν ἱερὰν πανήγυριν τῆς Θεομήτορος, καὶ βοάτω· Χαίροις παμμακάριστε, Θεοτόκε Ἁγνὴ Ἀειπάρθενε.
***…Κοινωνικὸν,ὁ β΄ χορός,*** **Π**οτήριον σωτηρίου λήψομαι, καὶ τὸ ὄνομα Κυρίου ἐπικαλέσομαι. Ἀλληλούϊα.
**28ΟΚΤΩΒΡΙΟΥ,ΔΟΞΟΛΟΓΙΑ ΕΠΙ ΤΗι ΕΘΝΙΚΗι ΕΟΡΤΗι.**Ἱερεύς: Εὐλογ ητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ είς τοὺς αἰῶνας τῶν αἰώνω ν.***Ἦχος α' Τῆς ἐρήμου πολίτης***
Τῆς Σκέπης σου Παρθένε, …
***Κοντάκιον Ἦχος πλ. δ'***
Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια, ὡς λυτρωθεῖσα τῶν δεινῶν εὐχαριστήρια, ἀναγράφω σοι ἡ Πόλις σου Θεοτόκε· Ἀλλ' ὡς ἔχουσα τὸ κράτος ἀπροσμάχητον, ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον, ἵνα κράζω σοι, Χαῖρε νύμφη ἀνύμφευτε.
Δόξα σοι τῷ δείξαντι τὸ φῶς, δόξα ἐν ὑψίστοις Θεῷ καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.
Η δεξιά σου, Κύριε, δεδόξασται ἐν ἰσχύι· ἡ δεξιά σου, Κύριε, ἔθραυσεν ἐχθρούς· ᾿Αλληλούια, ἀλληλούια, ἀλληλούια.
᾿Εν τῷ πλήθει τῆς δόξης σου συνέτριψας τοὺς ὑπεναντίους· ᾿Αλληλούια, ἀλληλούια, ἀλληλούια.
Ταλαιπωρία ἐταλαιπωρήσαμεν, ἐλογίσθημεν ὡς πρόβατα σφαγῆς· ᾿Αλληλούια, ἀλληλούια, ἀλληλούια.
Οἱ ἀγροὶ ἡμῶν διεμερίσθησαν, οἱ οἶκοι ἠρημώθησαν καὶ ἡμεῖς περιυβρίσθημεν· ᾿Αλληλούια, ἀλληλούια, ἀλληλούια.
Αὐτοὶ συνεποδίσθησαν καὶ ἔπεσαν, ἡμεῖς δὲ ἀνέστημεν καὶ ἀνωρθώθημεν· ᾿Αλληλούια, ἀλληλούια, ἀλληλούια.
᾿Αλαλάξατε τῷ Θεῷ πᾶσα ἡ γῆ· πάντα τὰ ἔθνη κροτήσατε χεῖρας· ᾿Αλληλούια, ἀλληλούια, ἀλληλούια.

***Εἶτα αἱ ἑξῆς αἰτήσεις τῆς λιτανευτικῆς (ἐκτενοῦς) ἱκεσίας, τῶν χορῶν ψαλλόντων ἐκ περιτροπῆς μεθ᾽ ἑκάστην αὐτῶν ἀνὰ ἓν τριπλοῦν «***Κύριε, ἐλέησον», ***ἐξαιρέσει τῆς πέμπτης, μεθ᾽ ἣν ψάλλεται*** «Αἰωνία ἡ μνήμη» ***γ΄, καὶ τῆς ἕκτης, μεθ᾽ ἣν ψάλλεται τὸ*** «Κύριε, ἐλέησον» ***ἀνὰ δέκα ἀμοιβαδὸν τετράκις, πραείᾳ τῇ φωνῇ.***

***Ἱερεύς***

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ Ὀρθοδόξων Χριστιανῶν.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους καὶ πάσης Ἀρχῆς καὶ ἐξ ουσίας ἐν αὐτῷ, τοῦ κατὰ ξηράν, θάλασσαν καὶ ἀέρα φιλοχρίστου ἡμ ῶν Στρατοῦ, καὶ ὑπέρ τοῦ Κύριον τὸν Θεὸν ἡμῶν ἐπὶ πλέονσυνεργῆσαι καὶ κατευοδῶσαι αὐτοὺς ἐν πᾶσιν.

Ἔτι δεόμεθα ὑπὲρ μακαρίας μνήμης καὶ αἰωνίου ἀναπαύσεως πάντων τῶν ὑπὲρ τῆς Πίστεως καὶ τῆς Πατρίδος ἡμῶν ἡρωϊκῶς ἀγωνισαμένω ν καὶ ἐνδόξως πεσόντων ἐν τοῖς ἱεροῖς τοῦ Ἔθνους ἡμῶνάγῶσι, πάλαι τε καὶ ἐπ' ἐσχάτων, καὶ ὑπὲρ τοῦ συγχωρηθῆναι αὐτοῖς πᾶν πλημμέλη μα ἑκούσιόν τε καὶ ἀκούσιον.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν Ἐκκλησίαν καὶ τὴν πό λιν ταύτην, καὶ πᾶσαν πόλιν καὶ χώραν ἀπὸ ὀργῆς, λοιμοῦ, λιμοῦ, σεισ μοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆςἀλλοφύλων, ἐμφυλί ου πολέμου, καὶ αἰφνιδίου θανάτου, ὑπὲρ τὸν ἵλεων, εὐμενῆ καὶ εὐδιά λακτον, γενέσθαι τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν, τοῦ ἀποστ ρέψαι καί, διασκεδάσαι πᾶσαν ὀργὴν καὶνόσον, τὴν καθ' ἡμῶν κινουμ ένην, καὶ ῥύσασθαι ἡμᾶς ἐκ τῆς ἐπικειμένης δικαίας αὐτοῦ ἀπειλῆς, καὶ ἐλεῆσαι ἡμᾶς.

Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν φωνῆς τῆς δεή σεως ἡμῶν τῶν ἁμαρτωλῶν, καὶ ἐλεῆσαι ἡμᾶς.

Ἐπάκουσον ἡμῶν, ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτω ν τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακράν, καὶ ἵλεως, ἵλεως γενοῦ ἡμῖν, Δέ σποτα ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, καὶ ἐλέησον ἡμᾶς.

Τοῦ Κυρίου δεηθῶμεν.

***Ἱερεύς***: Εὐχαριστοῦμέν σοι, Κύριε ὁ Θεὸς ἡμῶν, ὅτι καὶ αὖθις ἐπὶ τὴν εὔσημον ταύτην ἡμέραν ἤγαγες ἡμᾶς, ἐπινίκιον ᾠδὴν σοὶ ἀναμέλψαι τῷ εὐεργέτῃ καὶ σωτῆρι ἡμῶν. Ἰδοὺ γὰρ οἱ Ἄρχοντες ἡμῶν καὶ πᾶσα συναγωγὴ λαοῦ ἐπὶ ταὐτὸ συναχθέντες ἀνάμνησιν ἐπιτελοῦμεν ἔργου θαυμαστοῦ καὶ μεγάλου, ὃ ἡ δεξιά σου εἰργάσατο ἐν ταῖς ἡμέραις ἡμῶν, εἰς ἔνδειξιν, ὅτι ἡμέρα Κυρίου ἐπὶ πάντα ὑβριστὴν καὶ ὑπερήφανον καὶ ἡμέρα πτώσεως ἐπὶ πάντα ὑψηλὸν καὶ μετέωρον·

τοὺς γὰρ ἐνδόξους συνετάραξας μετὰ ἰσχύος καὶ τοὺς ὑψηλοὺς τῇ ὕβρει συνέτριψας μετὰ δυνάμεως, Διὰ τοῦτο, Κύριε, σήμερον τῆς αἰνέσεώς σου πλήρης ἡμῶν πᾶσα ἡ γῆ καὶ ἐν εὐγνωμοσύνῃ καὶ ἀγαλλιάσει βοῶμέν σοι˙ Τὰς ὁδούς σου, Κύριε, γνώρισον ἡμῖν καὶ τὰς τρίβους σου δίδαξον ἡμᾶς, νομοθέτησον ἡμᾶς ἐν τῇ ὁδῷ σου καὶ ὁδήγησον πάντας, τοὺς Ἄρχοντας καὶ τὸν Λαόν, ἐπὶ τὴν ἀλήθειάν σου, ὅτι πολλοὶ κυκλόθεν οἱ ἐχθροὶ ἡμῶν καὶ μακάριος ὁ λαός, οὗ ἐστι βοηθὸς Κύριος ὁ Θεὸς αὐτοῦ, Ἔτι δὲ καὶ ὑπὲρ τῶν ψυχῶν τῶν μαρτύρων ἀδελφῶν ἡμῶν δεόμεθά σου, τῶν τε ἐν πολέμῳ πεσόντων, τῶν τε ἀναιρεθέντων καὶ τῶν ἐν αἰχμαλωσίᾳ καὶ ἐξορίᾳ τελειωθέντων, ἵνα αὐλισθῶσιν ἐν ἀγαθοῖς καὶ ἀναπαύσωνται μετὰ δικαίων καὶ ἵνα τὰ ὀστᾶ αὐτῶν ὡς βοτάνη ἀνατείλῃ, ὅπως ἂν οἵ τε ζῶντες καὶ οἱ ἐπ' ἐλπίδι ἀναστάσεως κεκοιμημένοι εὐχαριστήριον αἶνον καὶ δοξολογίαν σοὶ ἀναπέμπωμεν τῷ κραταιῷ Βασιλεῖ τῶν αἰώνων εἰς τοὺς αἰῶνας. Ἀμήν.

***Ἀπόλυσις***

**8-11, *ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, Ἀντίφωνον Α' Ἦχος β', ὁ α' χορὸς , Στίχ. α'.***

**Ἀ**γαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ,...

***Ἀντίφωνον Γ', ὁ α' χορός, Στίχ.***

**Ὁ** ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς Λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.

***Ἀπολυτίκιον Ἦχος δ'***

Τῶν οὐρανίων στρατιῶν Ἀρχιστράτηγοι, δυσωποῦμεν ὑμᾶς ἡμεῖς οἱ ἀνάξιοι, ἵνα ταῖς ὑμῶν δεήσεσι, τειχίσητε ἡμᾶς, σκέπῃ τῶν πτερύγων, τῆς ἀΰλου ὑμῶν δόξης, φρουροῦντες ἡμᾶς προσπίπτοντας, ἐκτενῶς καὶ βοῶντας΄ Ἐκ τῶν κινδύνων λυτρώσασθε ἡμᾶς, ὡς Ταξιάρχαι τῶν ἄνω Δυνάμεων.

***ὁ β' χορός, Στίχ.*** **Ε**ὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, Κύριε ὁ Θεὸς μου ἐμεγαλύνθης σφόδρα. **Τ**ῶν οὐρανίων στρατιῶν Ἀρχιστράτηγοι...

***Εἰσοδικὸν, ὁ α' χορός***

**Δ**εῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστὸς.....***ὁ β' χορὸς***...**ψ**άλλοντάς σοι, Ἀλληλούϊα.

***ὁ α' χορός, Ἀπολυτίκιον Ἦχος δ',*** **Τ**ῶν οὐρανίων στρατιῶν Ἀρχιστράτηγοι, …

**ὁ β' χορός ,Τοῦ <u>Ναοῦ,</u>**

**ὁ *α' χορός, Κοντάκιον, <u>[από 8 έως 25-11, πλήν της 20-11),</u> Ἦχος δ', Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ***

**Ὁ** καθαρώτατος ναὸς τοῦ Σωτῆρος, ἡ πολυτίμητος παστὰς καὶ Παρθένος, τὸ Ἱερὸν θησαύρισμα τῆς δόξης τοῦ Θεοῦ, σήμερον εἰσάγεται, ἐν τῷ οἴκῳ Κυρίου, τὴν χάριν συνεισάγουσα, τὴν ἐν Πνευματι θείῳ, ἣν ἀνυμνοῦσιν Ἄγγελοι Θεοῦ΄ Αὕτη ὑπάρχει σκηνὴ ἐπουράνιος.

**Τρισάγιον.** ***Ὁ Ἀπόστολος,Τῶν Ἀσωμάτων (Ἑβρ. β΄ 2-10).Προκείμενον ἦχος δ’***

**Ὁ** ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς Λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.

***Στίχ.*** **Ε**ὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

**Ἀ**δελφοί, εἰ ὁ δι΄ ἀγγέλων λαληθεὶς λόγος …

***…Κοινωνικὸν , ὁ β’ χορός, ἦχος α’,*** **Ὁ** ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς Λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. Ἀλληλούϊα.

**9-11,** ***ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, Ἀντίφωνον Α', Ἦχος β'***

***ὁ α’ χορὸς, Στίχ. α'.***

**Ἀ**γαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, …

***Ἀντίφωνον Γ', ὁ α’ χορός, Στίχ.***

**Τ**ὸ στόμα μου λαλήσει σοφίαν, καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

***Ἀπολυτίκιον Ἦχος α'***

**Σ**ηλυβρίας τὸν γόνον καὶ Αἰγίνης τὸν ἔφορον, τὸν ἐσχάτοις χρόνοις φανέντα, ἀρετῆς φίλον γνήσιον, Νεκτάριον τιμήσωμεν πιστοί, ὡς ἔνθεον θεράποντα Χριστοῦ, ἀναβλύζεις γὰρ ἰάσεις παντοδαπάς, τοῖς εὐλαβῶς κραυγάζουσι, δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ θαυμαστώσαντι, δόξα τῷ ἐνεργοῦντι διὰ σοῦ, πᾶσιν ἰάματα.

***ὁ β’ χορὸς, Στίχ.***

**Ο**ἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται.

**Σ**ηλυβρίας τὸν γόνον καὶ Αἰγίνης τὸν ἔφορον...

***Εἰσοδικὸν, ὁ α’ χορός***

**Δ**εῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστὸς.....***ὁ β’ χορὸς***...**ψ**άλλοντάς σοι, Ἀλληλούϊα.

***ὁ α’ χορός, Ἀπολυτίκιον Ἦχος α'***

**Σ**ηλυβρίας τὸν γόνον καὶ Αἰγίνης τὸν ἔφορον…

***ὁ β’ χορὸς , Ἀπολυτίκιον Ἦχος δ' , Ταχὺ προκατάλαβε***

**Ὁ**σίως ἐβίωσας, ὡς Ἱεράρχης σοφός, δοξάσας τὸν Κύριον, δι' ἐναρέτου ζωῆς, Νεκτάριε Ὅσιε. Ὅθεν τοῦ Παρακλήτου, δοξασθεὶς τῇ δυνάμει, δαίμονας ἀπελαύνεις, καὶ νοσοῦντας ἰᾶσαι, τοὺς πιστῶς προσιόντας, τοῖς θείοις λειψάνοις σου.

**ὁ α' χορός , Τοῦ Ναοῦ,**

***ὁ β' χορός,Κοντάκιον Ἦχος δ', Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ***

**Ὁ** καθαρώτατος ναὸς τοῦ Σωτῆρος, ἡ πολυτίμητος παστὰς καὶ Παρθένος, τὸ Ἱερὸν θησαύρισμα τῆς δόξης τοῦ Θεοῦ, σήμερον εἰσάγεται, ἐν τῷ οἴκῳ Κυρίου, τὴν χάριν συνεισάγουσα, τὴν ἐν Πνεύματι θείῳ, ἣν ἀνυμνοῦσιν Ἄγγελοι Θεοῦ´ **Αὕτη ὑπάρχει σκηνὴ ἐπουράνιος.**

***Τρισάγιον. Ἀπόστολος, Τοῦ ῾Αγίου, Προκείμενον Ἦχος βαρύς.***

**Τ**ίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

***Στίχ.*** **Τ**ί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκεν ἡμῖν;

**Πρὸς Ἐφεσίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.** ***(Ἐφεσ. ε´ 8-19).***

**Ἀ**δελφοί, ὡς τέκνα φωτὸς περιπατεῖτε …

***…Κοινωνικὸν,*** **Ε**ίς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. **Ἀ**λληλούϊα.

**6-12**, ***ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, Ἀντίφωνον α', Ἦχος β', ὁ α' χορὸς ,Στίχ. α'.*** **Ἀ**γαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, ,,,

***Ἀντίφωνον Γ', ὁ α' χορός,*** **Στίχ.**

**Τ**ίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

***ἀπολυτίκιον, ἦχος δ'***

Κανόνα πίστεως καὶ εἰκόνα πρᾳότητος, ἐγκρατείας Διδάσκαλον, ἀνέδειξέ σε τῇ ποίμνῃ σου, ἡ τῶν πραγμάτων ἀλήθεια, διὰ τοῦτο ἐκτήσω τῇ ταπεινώσει τὰ ὑψηλά, τῇ πτωχείᾳ τὰ πλούσια, Πάτερ Ἱεράρχα Νικόλαε, πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

***ὁ β' χορός, Στίχ.*** **Ο**ἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοι σου ἀγαλλιάσει ἀγαλλιάσονται. **Κ**ανόνα πίστεως...

***Εἴσοδος. Εἰσοδικὸν,ὁ α' χορός,***

**Δ**εῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστὸς...***ὁ β' χορὸς***...**ψ**άλλοντάς σοι, Ἀλληλούϊα.

***ὁ α' χορός, Ἀπολυτίκιον. Ἦχος δ'.***

**Κ**ανόνα πίστεως καὶ εἰκόνα πρᾳότητος, …

***ὁ β' χορός,*** **Τοῦ Ναοῦ**

***ὁ α' χορός,Κοντάκιον Προεόρτιον Ἦχος γ'***

**Ἡ** Παρθένος σήμερον, τὸν προαιώνιον Λόγον, ἐν Σπηλαίῳ ἔρχεται, ἀποτεκεῖν ἀπορρήτως, Χόρευε ἡ οἰκουμένη ἀκουτισθεῖσα, δόξασον μετὰ Ἀγγέλων καὶ τῶν Ποιμένων, βουληθέντα ἐποφθῆναι, Παιδίον νέον, τὸν πρὸ αἰώνων Θεόν.

**Τρισάγιον**,

***Ἀπόστολος, Τοῦ ῾Αγίου· (῾Εβρ. ιγ´ 17-21). Προκείμενον ἦχος βαρύς.***

**Τ**ίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

***Στίχ.*** Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκεν ἡμῖν;
Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.
**Ἀ**δελφοί, πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε, …
***…β' χορός, Κοινωνικὸν,*** **Ε**ἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα.

**9 ΔΕΚΕΜΒΡΙΟΥ, *Σύλληψις τῆς Ἁγίας Ἄννης, ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ,,Ἀντίφωνον α', Ἦχος β',ὁ α' χορὸς ,Στίχ. α'.***
Ἀγαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, …
***Ἀντίφωνον Γ',ὁ α' χορός,Στίχ α'.***
Ἀγαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ, τοῖς εὐθέσι πρέπει αἴνεσις.
***Ἀπολυτίκιον. Ἦχος δ΄.***
Σήμερον τῆς ἀτεκνίας δεσμὰ διαλύονται, τοῦ Ἰωακεὶμ γὰρ καὶ τῆς Ἄννης εἰσακούων Θεός, παρ' ἐλπίδα τεκεῖν αὐτοὺς σαφῶς, ὑπισχνεῖται θεόπαιδα, ἐξ ἧς αὐτός ἐτέχθη ὁ ἀπερίγραπτος, βροτὸς γεγονώς, δι' Ἀγγέλου κελεύσας βοῆσαι αὐτῇ, Χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.
***ὁ β' χορός, Στίχ. β΄.*** Μακάριοι πάντες οἱ φοβούμενοι τὸν Κύριον. Σήμερον τῆς ἀτεκνίας δεσμὰ διαλύονται…
***Εἰσοδικὸν,ὁ α' χορός,***
Δεῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστὸς***…ὁ β' χορὸς…***ψάλλοντάς σοι΄ Ἀλληλούϊα.
***ὁ α' χορός, Ἀπολυτίκιον., Ἦχος δ΄.*** Σήμερον τῆς ἀτεκνίας δεσμὰ διαλύονται, …
***ὁ β' χορός,Τοῦ*** **Ναοῦ**
***ὁ α' χορός,Κοντάκιον , Ἦχος δ' Ἐπεφάνης σήμερον***
Ἑορτάζει σήμερον, ἡ οἰκουμένη, τὴν τῆς Ἄννης σύλληψιν, γεγενημένην ἐν Θεῷ· καὶ γὰρ αὐτὴ ἀπεκύησε, τὴν ὑπὲρ λόγον, τὸν Λόγον κυήσασαν.
**Τρισάγιον**. ***Ἀπόστολος, Προκείμενον ἦχος δ'***
Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.
***Στίχ.***Ἐν Ἐκκλησίαις εὐλογεῖτε τὸν Θεόν.
Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα
Ἀδελφοί, Ἀβραὰμ δύο υἱοὺς ἔσχεν,...
…***ὁ β' χορός,Κοινωνικὸν,*** Ἀγαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ, τοῖς εὐθέσι πρέπει αἴνεσις. Ἀλληλούϊα.

**24 ΔΕΚΕΜΒΡΙΟΥ, *ΕΙΣ ΤΟΝ ΜΕΓΑΝ ΕΣΠΕΡΙΝΟΝ, Εἰ τύχοι ἡ Ἑορτὴ ἐν ἡμέρᾳ Κυριακῇ ἢ Δευτέρᾳ (ΚΑΙ Η Α΄ ΠΕΡΙΠΤΩΣΙΣ).*** *Εὐλογήσαντος τοῦ*

Ἱερέως ***<u>(όταν ακολουθήσει Μ. Βασίλειος, “ Ευλογημένη η Βασιλεία...”,</u>***

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ βασιλεῖ ἡμῶν Θεῷ. Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, τῷ βασιλεῖ ἡμῶν Θεῷ. Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ Χριστῷ, τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν. ***Ψαλμὸς 103,*** Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον. Κύριε ὁ Θεός μου, ἐμεγαλύνθης σφόδρα, ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον, ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέρριν· ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ, ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων· ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα· ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν. ἀναβαίνουσιν ὄρη καὶ καταβαίνουσι πεδία εἰς τὸν τόπον ὃν ἐθεμελίωσας αὐτά· ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν. ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀνὰ μέσον τῶν ὀρέων διελεύσονται ὕδατα· ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν· ἐπ᾽ αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει, ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν. ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ, ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ. ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς· καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ, καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει. χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσας. ἐκεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ οἰκία ἡγεῖται αὐτῶν. ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγωοῖς. ἐποίησε σελήνην εἰς καιρούς, ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ. ἔθου σκότος, καὶ ἐγένετο νύξ· ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ. σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς. ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθησαν καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται. ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας. ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας, ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου. αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος, ἐκεῖ ἑρπετά, ὧν οὐκ ἔστιν ἀριθμός, ζῷα μικρὰ μετὰ μεγάλων· ἐκεῖ πλοῖα διαπορεύονται, δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῇ. πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον. δόντος σου αὐτοῖς συλλέξουσιν, ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται

χρηστότητος. ἀποστρέψαντος δέ σου τὸ πρόσωπον ταραχθήσονται· ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι καὶ είς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν. ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς. ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας, εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ· ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν, ὁ ἀπτόμενος τῶν ὀρέων καὶ καπνίζονται. ᾄσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω· ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ. ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς. εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον. Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ ἔθου σκότος, καὶ ἐγένετο νύξ. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε πάντα ἐν σοφίᾳ ἐποίησας. Δόξα... Καὶ νῦν… Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοι ὁ Θεός (ἐκ γ'). Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.

***Ι. Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν…ὁ α' χορός Ἦχος β' Ψαλμὸς ρμ' (140)***

**Ἀ**μήν. **Κ**ύριε ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου, εἰσάκουσόν μου, Κύριε. Κύριε, ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου, ἐν τῷ κεκραγέναι με πρὸς σὲ εἰσάκουσόν μου, Κύριε.

***ὁ β' χορός,*** **Κ**ατευθυνθήτω ἡ προσευχή μου, ὡς θυμίαμα ἐνώπιόν σου ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινὴ εἰσάκουσόν μου, Κύριε.

***ὁ α' χορός, Στίχ.*** **Ἐ**ὰν ἀνομίας παρατηρήσῃς, Κύριε, Κύριε τὶς ὑποστήσεται; ὅτι παρὰ σοὶ ὁ ἱλασμὸς ἐστιν. ***Ἰδιόμελα Ἦχος β', Γερμανοῦ***

**Δ**εῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ, τὸ παρὸν μυστήριον ἐκδιηγούμενοι, τὸ μεσότοιχον τοῦ φραγμοῦ διαλέλυται, ἡ φλογίνη ῥομφαία τὰ νῶτα δίδωσι, καὶ τὰ Χερουβίμ παραχωρεῖ τοῦ ξύλου τῆς ζωῆς, κἀγὼ τοῦ παραδείσου τῆς τρυφῆς μεταλαμβάνω, οὗ προεξεβλήθην διὰ τῆς παρακοῆς. Ἡ γὰρ ἀπαράλλακτος εἰκὼν τοῦ Πατρός, ὁ χαρακτήρ τῆς ἀϊδιότητος αὐτοῦ, μορφὴν δούλου λαμβάνει, ἐξ ἀπειρογάμου Μητρὸς προελθών, οὐ τροπὴν ὑπομείνας΄ ὃ γὰρ ἦν διέμεινε, Θεὸς ὢν ἀληθινός΄ καὶ ὃ οὐκ ἦν προσέλαβεν, ἄνθρωπος γενόμενος διὰ φιλανθρωπίαν, αὐτῷ βοήσωμεν΄ ὁ τεχθεὶς ἐκ Παρθένου Θεός, ἐλέησον ἡμᾶς.

***ὁ β' χορός, ἦχος ὁ αὐτὸς, Στίχ.*** **Ἕ**νεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε, Κύριε, ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου, ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον.

**Δ**εῦτε ἀγαλλιασώμεθα τῷ Κυρίῳ…

***ὁ α' χορός, ἦχος ὁ αὐτὸς , Στίχ.*** **Ἀ**πὸ φυλακῆς πρωΐας μέχρι νυκτός, ἀπὸ φυλακῆς πρωΐας, ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον. ***Ἀνατολίου***

**Τ**οῦ Κυρίου Ἰησοῦ γεννηθέντος ἐκ τῆς ἁγίας Παρθένου, πεφώτισται τὰ σύμπαντα, Ποιμένων γὰρ ἀγραυλούντων, καὶ Μάγων προσκυνούντων, Ἀγγέλων ἀνυμνούντων, Ἡρῴδης ἐταράττετο, ὅτι Θεὸς ἐν σαρκὶ ἐφάνη, Σωτὴρ τῶν ψυχῶν ἡμῶν.
***ὁ β' χορός, ἦχος ὁ αὐτὸς, Στίχ.*** **Ὅ**τι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος καὶ πολλὴ παρ' αὐτῷ λύτρωσις' καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.
**Τ**οῦ Κυρίου Ἰησοῦ γεννηθέντος...
***ὁ α' χορός, ἦχος ὁ αὐτὸς, Στίχ.*** **Α**ἰνεῖτε τὸν κύριον πάντα τὰ ἔθνη ἐπαινέσατε αὐτὸν πάντες οἱ λαοί. **Ἡ Βασιλεία σου,** Χριστὲ ὁ Θεός, βασιλεία πάντων τῶν αἰώνων, καὶ ἡ Δεσποτεία σου, ἐν πάσῃ γενεᾷ καὶ γενεᾷ. Ὁ σαρκωθεὶς ἐκ Πνεύματος Ἁγίου, καὶ ἐκ τῆς ἀειπαρθένου Μαρίας ἐνανθρωπήσας, φῶς ἡμῖν ἔλαμψας, Χριστὲ ὁ Θεός, τῇ σῇ παρουσίᾳ, φῶς ἐκ φωτός, τοῦ Πατρὸς τὸ ἀπαύγασμα, πᾶσαν κτίσιν ἐφαίδρυνας, Πᾶσα πνοὴ αἰνεῖ σε, τὸν χαρακτῆρα τῆς δόξης τοῦ Πατρός. Ὁ ὢν καὶ προών, καὶ ἐκλάμψας ἐκ Παρθένου Θεός, ἐλέησον ἡμᾶς.
***ὁ β' χορός, ἦχος ὁ αὐτὸς, Στίχ.*** **Ὅ**τι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἡ ἀλήθεια τοῦ κυρίου μένει είς τὸν αἰῶνα. **Τί σοι προσενέγκωμεν** Χριστέ, ὅτι ὤφθης ἐπὶ γῆς ὡς ἄνθρωπος δι' ἡμᾶς; ἕκαστον γὰρ τῶν ὑπὸ σοῦ γενομένων κτισμάτων, τὴν εὐχαριστίαν σοι προσάγει΄ οἱ Ἄγγελοι τὸν ὕμνον, οἱ οὐρανοὶ τὸν Ἀστέρα, οἱ Μάγοι τὰ δῶρα, οἱ Ποιμένες τὸ θαῦμα, ἡ γῆ τὸ σπήλαιον, ἡ ἔρημος τὴν φάτνην΄ ἡμεῖς δὲ Μητέρα Παρθένον, ὁ πρὸ αἰώνων Θεὸς ἐλέησον ἡμᾶς.
***ὁ α' χορὸς,*** Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι. ***ὁ β' χορός,*** Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων, ἀμήν. ***ὁ α' χορὸς,Ἦχος ὁ αὐτὸς, Κασσίας***
**Α**ὐγούστου μοναρχήσαντος ἐπὶ τῆς γῆς, ἡ πολυαρχία τῶν ἀνθρώπων ἐπαύσατο, καὶ σοῦ ἐνανθρωπήσαντος ἐκ τῆς Ἁγνῆς, ἡ πολυθεΐα τῶν εἰδώλων κατήργηται. Ὑπὸ μίαν βασιλείαν ἐγκόσμιον, αἱ πόλεις γεγένηνται, καὶ εἰς μίαν Δεσποτείαν Θεότητος, τὰ Ἔθνη ἐπίστευσαν. Ἀπεγράφησαν οἱ λαοί, τῷ δόγματι τοῦ Καίσαρος΄ ἐπεγράφημεν οἱ πιστοί, ὀνόματι θεότητος, σοῦ τοῦ ἐνανθρωπήσαντος Θεοῦ ἡμῶν, Μέγα σου τὸ ἔλεος, δόξα σοι.
***Εἴσοδος (μετά Ευαγγελίου), ὁ διάκονος:, Σοφία Ὀρθοί !*** **Φ**ῶς ἱλαρὸν ἁγίας δόξης, ἀθανάτου Πατρός, οὐρανίου, ἁγίου, μάκαρος, Ἰησοῦ Χριστέ, ἐλθόντες ἐπὶ τὴν ἡλίου δύσιν, ἰδόντες φῶς ἑσπερινόν, ὑμνοῦμεν Πατέρα, Υἱόν, καὶ ἅγιον Πνεῦμα Θεόν. Ἄξιόν σε ἐν πᾶσι καιροῖς, ὑμνεῖσθαι φωναῖς αἰσίαις, Υἱὲ Θεοῦ, ζωὴν ὁ διδούς, Διὸ ὁ κόσμος σὲ δοξάζει.

***ὁ διάκονος: Ἑσπέρας ! Α' , ὁ Ἀναγνώστης: Γενέσεως τὸ Ἀνάγνωσμα, ὁ διάκονος: Σοφία, πρόσχωμεν! , (Κεφ. 1, 1-13), ὁ Ἀναγνώστης:,*** **Ἐ**ν ἀρχῇ ἐποίησεν ὁ Θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν, ἡ δὲ γῆ ἦν ἀόρατος καὶ ἀκατασκεύαστος καὶ σκότος ἐπάνω τῆς ἀβύσσου καὶ πνεῦμα Θεοῦ ἐπεφέρετο ἐπάνω τοῦ ὕδατος καὶ εἶπεν ὁ Θεὸς γενηθήτω φῶς καὶ ἐγένετο φῶς καὶ εἶδεν ὁ Θεὸς τὸ φῶς ὅτι καλὸν καὶ διεχώρισεν ὁ Θεὸς ἀνὰ μέσον τοῦ φωτὸς καὶ ἀνὰ μέσον τοῦ σκότους, καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ φῶς ἡμέραν καὶ τὸ σκότος ἐκάλεσεν νύκτα καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ ἡμέρα μία .καὶ εἶπεν ὁ Θεὸς΄ γενηθήτω στερέωμα ἐν μέσῳ τοῦ ὕδατος καὶ ἔστω διαχωρίζον ἀνὰ μέσον ὕδατος καὶ ὕδατος΄ καὶ ἐγένετο οὕτως .καὶ ἐποίησεν ὁ Θεὸς τὸ στερέωμα καὶ διεχώρισεν ὁ Θεὸς ἀνὰ μέσον τοῦ ὕδατος ὃ ἦν ὑποκάτω τοῦ στερεώματος καὶ ἀνὰ μέσον τοῦ ὕδατος τοῦ ἐπάνω τοῦ στερεώματος .καὶ ἐκάλεσεν ὁ Θεὸς τὸ στερέωμα οὐρανὸν καὶ εἶδεν ὁ Θεὸς ὅτι καλὸν καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ ἡμέρα δευτέρα .καὶ εἶπεν ὁ Θεὸς συναχθήτω τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ είς συναγωγὴν μίαν καὶ ὀφθήτω ἡ ξηρὰ καὶ ἐγένετο οὕτω΄ καὶ συνήχθη τὸ ὕδωρ τὸ ὑποκάτω τοῦ οὐρανοῦ είς τὰς συναγωγὰς αὐτῶν καὶ ὤφθη ἡ ξηρὰ .καὶ ἐκάλεσεν ὁ Θεὸς τὴν ξηρὰν γῆν καὶ τὰ συστήματα τῶν ὑδάτων ἐκάλεσεν θαλάσσας΄ καὶ εἶδεν ὁ Θεὸς ὅτι καλὸν΄ .καὶ εἶπεν ὁ Θεὸς βλαστησάτω ἡ γῆ βοτάνην χόρτου σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ' ὁμοιότητα καὶ ξύλον κάρπιμον ποιοῦν καρπὸν οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς γῆς καὶ ἐγένετο οὕτως΄.καὶ ἐξήνεγκεν ἡ γῆ βοτάνην χόρτου σπεῖρον σπέρμα κατὰ γένος καὶ καθ' ὁμοιότητα καὶ ξύλον κάρπιμον ποιοῦν καρπὸν οὗ τὸ σπέρμα αὐτοῦ ἐν αὐτῷ κατὰ γένος ἐπὶ τῆς γῆς καὶ εἶδεν ὁ Θεὸς ὅτι καλὸν΄ .Καὶ ἐγένετο ἑσπέρα καὶ ἐγένετο πρωΐ ἡμέρα τρίτη.

***Εἶτα ἀνιστάμενοι λέγομεν, ὁ α' χορὸς, Τροπάριον Ἦχος πλ.β'***

**Λ**αθὼν ἐτέχθης ὑπὸ τὸ Σπήλαιον, ἀλλ' οὐρανός σε πᾶσιν ἐκήρυξεν, ὥσπερ στόμα, τὸν Ἀστέρα προβαλλόμενος Σωτήρ. Καὶ Μάγους σοι προσήνεγκεν, ἐν πίστει προσκυνοῦντάς σε΄ μεθ' ὧν ἐλέησον ἡμᾶς.

***ὁ Ἀναγνώστης: Στίχος α'.*** **Ο**ἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις, ἀγαπᾷ Κύριος τὰς πύλας Σιών, ὑπὲρ πάντα τὰ σκηνώματα Ἰακώβ.

***ὁ β' χορός,*** **Κ**αὶ Μάγους σοι προσήνεγκεν, ἐν πίστει προσκυνοῦντάς σε, μεθ' ὧν ἐλέησον ἡμᾶς.

***ὁ Ἀναγνώστης: Στίχος β'.*** Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ, ἡ Πόλις τοῦ Θεοῦ, μνησθήσομαι Ῥαὰβ καὶ Βαβυλῶνος, τοῖς γινώσκουσί με.

***ὁ α' χορὸς,*** **Κ**αὶ Μάγους σοι προσήνεγκεν, ἐν πίστει προσκυνοῦντάς σε, μεθ' ὧν ἐλέησον ἡμᾶς.

***ὁ Ἀναγνώστης: Στίχος γ'.*** Καὶ ἰδοὺ ἀλλόφυλοι, καὶ Τύρος, καὶ λαὸς τῶν Αἰθιόπων.

***ὁ β' χορός,*** **Κ**αὶ Μάγους σοι προσήνεγκεν, ἐν πίστει προσκυνοῦντάς σε, μεθ' ὧν ἐλέησον ἡμᾶς.

**ὁ Ἀναγνώστης: Στίχος δ'.** Οὗτοι ἐγεννήθησαν ἐκεῖ, Μήτηρ Σιών, ἐρεῖ ἄνθρωπος ἐγεννήθη ἐν αὐτῇ, καὶ αὐτὸς ἐθεμελίωσεν αὐτὴν ὁ Ὕψιστος.

***ὁ α' χορὸς,*** **Κ**αὶ Μάγους σοι προσήνεγκεν, ἐν πίστει προσκυνοῦντάς σε, μεθ' ὧν ἐλέησον ἡμᾶς.

***ὁ Ἀναγνώστης: Στίχος ε'.*** Κύριος διηγήσεται ἐν γραφῇ λαῶν, καὶ Ἀρχόντων τούτων τῶν γεγεννημένων ἐν αὐτῇ΄ Ὡς εὐφραινομένων πάντων ἡ κατοικία ἐν σοί.

***ὁ β' χορός,*** **Κ**αὶ Μάγους σοι προσήνεγκεν, ἐν πίστει προσκυνοῦντάς σε, μεθ' ὧν ἐλέησον ἡμᾶς.

***ὁ Ἀναγνώστης*: Δόξα Πατρὶ... Καὶ νῦν...** ***ὁ α' χορὸς***

**Λ**αθὼν ἐτέχθης ὑπὸ τὸ Σπήλαιον, ἀλλ' οὐρανὸς σε πᾶσιν ἐκήρυξεν, ὥσπερ στόμα, τὸν Ἀστέρα προβαλλόμενος Σωτήρ. Καὶ Μάγους σοι προσήνεγκεν, ἐν πίστει προσκυνοῦντάς σε, μεθ' ὧν ἐλέησον ἡμᾶς.

Ζ' Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα, (***Κεφ, 9, 6-7)***

**Π**αιδίον ἐγεννήθη ἡμῖν υἱὸς καὶ ἐδόθη ἡμῖν οὗ ἡ ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος ἐγὼ γὰρ ἄξω εἰρήνην ἐπὶ τοὺς ἄρχοντας εἰρήνην καὶ ὑγίειαν αὐτῷ. Μεγάλη ἡ ἀρχὴ αὐτοῦ καὶ τῆς εἰρήνης αὐτοῦ οὐκ ἔστιν ὅριον ἐπὶ τὸν θρόνον Δαυΐδ καὶ τὴν βασιλείαν αὐτοῦ κατορθῶσαι αὐτὴν καὶ ἀντιλαβέσθαι αὐτῆς ἐν δικαιοσύνῃ καὶ ἐν κρίματι ἀπὸ τοῦ νῦν καὶ εἰς τὸν αἰῶνα χρόνον ὁ ζῆλος Κυρίου Σαβαὼθ ποιήσει ταῦτα.

***ὁ β' χορός,*** **Τροπάριον Ἦχος πλ. β'**

**Ἀ**νέτειλας Χριστὲ ἐκ Παρθένου, νοητὲ Ἥλιε τῆς Δικαιοσύνης, καὶ Ἀστὴρ σε ὑπέδειξεν, ἐν Σπηλαίῳ χωρούμενον τὸν ἀχώρητον. Μάγους ὁδηγήσας εἰς προσκύνησίν σου, μεθ' ὧν σε μεγαλύνομεν, Ζωοδότα δόξα σοι.

***ὁ Ἀναγνώστης: Στίχος α'.*** **Ὁ** Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο, ἐνεδύσατο Κύριος δύναμιν καὶ περιεζώσατο.

***ὁ α' χορὸς ,*** **Μ**άγους ὁδηγήσας εἰς προσκύνησίν σου, μεθ' ὧν σε μεγαλύνομεν, Ζωοδότα δόξα σοι.

***ὁ Ἀναγνώστης: Στίχος β'***. **Κ**αὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ σαλευθήσεται, ἕτοιμος ὁ θρόνος σου ἀπὸ τότε.

***ὁ β' χορός,*** **Μ**άγους ὁδηγήσας εἰς προσκύνησίν σου, μεθ' ὧν σε μεγαλύνομεν, Ζωοδότα δόξα σοι.

***ὁ Ἀναγνώστης: Στίχος γ'.*** **Ἐ**πῆραν οἱ ποταμοὶ Κύριε, ἐπῆραν οἱ ποταμοὶ φωνὰς αὐτῶν, ἀροῦσιν οἱ ποταμοὶ ἐπιτρίψεις αὐτῶν, ἀπὸ φωνῶν ὑδάτων πολλῶν.

***ὁ α' χορὸς,*** **Μ**άγους ὁδηγήσας είς προσκύνησίν σου, μεθ' ὧν σε μεγαλύνομεν, Ζωοδότα δόξα σοι.

***ὁ Ἀναγνώστης: Στίχος δ'.*** **Θ**αυμαστοὶ οἱ μετεωρισμοὶ τῆς θαλάσσης, θαυμαστὸς ἐν ὑψηλοῖς ὁ Κύριος, τὰ μαρτύριά σου ἐπιστώθησαν σφόδρα.

***ὁ β' χορός,*** **Μ**άγους ὁδηγήσας είς προσκύνησίν σου, μεθ' ὧν σε μεγαλύνομεν, Ζωοδότα δόξα σοι.

***ὁ Ἀναγνώστης: Στίχος ε'.*** **Τ**ῷ οἴκῳ σου πρέπει ἁγίασμα, Κύριε, είς μακρότητα ἡμερῶν.

***ὁ α' χορὸς ,*** **Μ**άγους ὁδηγήσας είς προσκύνησίν σου, μεθ' ὧν σε μεγαλύνομεν, Ζωοδότα δόξα σοι.

***ὁ Ἀναγνώστης:*** **Δόξα Πατρὶ... Καὶ νῦν...** ***ὁ β' χορός,*** **Ἀ**νέτειλας Χριστὲ ἐκ Παρθένου, νοητὲ Ἥλιε τῆς Δικαιοσύνης, καὶ Ἀστὴρ σε ὑπέδειξεν, ἐν Σπηλαίῳ χωρούμενον τὸν ἀχώρητον. Μάγους ὁδηγήσας είς προσκύνησίν σου, μεθ' ὧν σε μεγαλύνομεν, Ζωοδότα δόξα σοι.

**Η'** Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα, ***(Κεφ. 7, 10-16, & 8, 1-4, 8-10).*** **Π**ροσέθετο Κύριος λαλῆσαι τῷ Ἄχαζ λέγων΄ Αἴτησαι σεαυτῷ σημεῖον παρὰ Κυρίου τοῦ Θεοῦ σου είς βάθος ἢ είς ὕψος. Καὶ εἶπεν Ἄχαζ΄ οὐ μὴ αἰτήσω οὐδ' οὐ μὴ πειράσω Κύριον. Καὶ εἶπεν(Ἡσαΐας). Ἀκούσατε δὴ οἶκος Δαυΐδ΄ μὴ μικρὸν ὑμῖν ἀγῶνα παρέχειν ἀνθρώποις; καὶ πῶς Κυρίῳ παρέχετε ἀγῶνα; Διὰ τοῦτο δώσει Κύριος αὐτὸς ὑμῖν σημεῖον. Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ ἕξει, καὶ τέξεται υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἐμμανουὴλ. Βούτυρον καὶ μέλι φάγεται πρὶν ἢ γνῶναι αὐτὸν ἢ προελέσθαι πονηρὰ ἐκλέξεται τὸ ἀγαθὸν. Διότι πρὶν ἢ γνῶναι τὸ παιδίον ἀγαθὸν ἢ κακὸν ἀπειθεῖ πονηρίᾳ τοῦ ἐκλέξασθαι τὸ ἀγαθὸν, καὶ καταληφθήσεται ἡ γῆ , ἣν σοὶ φοβῇ, ἀπὸ προσώπου τῶν δύο βασιλέων. Καὶ εἶπεν Κύριος πρός με΄ λάβε σεαυτῷ τόμον καινοῦ μ εγάλου καὶ γράψον είς αὐτὸν γραφίδι ἀνθρώπου΄ τοῦ ὀξέως προνομὴν ποιῆσαι σκύλων΄ πάρεστιν γὰρ. Καὶ μάρτυράς μοι ποίησον πιστοὺς ἀνθρώπους τὸν Οὐρίαν καὶ τὸν Ζαχαρίαν υἱὸν Βαραχίου. Καὶ προσῆλθον πρὸς τὴν προφῆτιν, καὶ ἐν γαστρὶ ἔλαβε καὶ ἔτεκεν υἱὸν΄ καὶ εἶπεν Κύριός μοι΄ κάλεσον τὸ ὄνομα αὐτοῦ. Ταχέως σκύλευσον, ὀξέως προνόμευσον΄ διότι πρὶν ἢ γνῶναι τὸ παιδίον καλεῖν πατέρα ἢ μητέρα, λήψεται δύναμιν Δαμασκοῦ καὶ τὰ σκῦλα Σαμαρείας ἔναντι βασιλέως Ἀσσυρίων. Καὶ ἀφελεῖ ἀπὸ τῆς Ἰουδαίας ἄνθρωπον, ὃς δυνήσεται κεφαλὴν ἆραι ἢ δυνατὸν συντελέσασθαί τι, καὶ ἔσται ἡ παρεμβολὴ αὐτοῦ ὥστε πληρῶσαι τὸ πλάτος τῆς χώρας σου΄ Μεθ' ἡμῶν ὁ Θεὸς. Γνῶτε ἔθνη καὶ ἡττᾶσθε΄ ἐπακούσατε ἕως ἐσχάτου τῆς

γῆς΄ ἰσχυκότες ἡττᾶσθε. Ἐὰν γὰρ πάλιν ἰσχύσητε, πάλιν ἡττηθήσεσθε. Καὶ ἣν ἂν βουλεύσησθε βουλὴν, διασκεδάσει Κύριος καὶ λόγον ὃν ἐὰν εἴπητε, οὐ μὴ ἐμμείνῃ ἐν ὑμῖν, ὅτι μεθ' ἡμῶν ὁ Θεὸς.
***Εἶτα ὁ Ἀναγνώστης τὸ Προκείμενον τοῦ Ἀποστόλου. Ἦχος α'.***

**…………………………………………………..**

**[ ΟΤΑΝ ΤΑ ΧΡΙΣΤΟΥΓΕΝΝΑ «ΠΕΣΟΥΝ» ΑΠΟ ΤΡΙΤΗ ΜΕΧΡΙ ΣΑΒΒΑΤΟ, "ΤΟΥ ΚΥΡΙΟΥ ΔΕΗΘΩΜΕΝ". ΟΤΙ ΑΓΙΟΣ ΕΙ Ο ΘΕΟΣ ΗΜΩΝ…ΤΡΙΣΑΓΙΟΝ…Μ. Βασίλειος]**

**……………………………………………………..**

**Κ**ύριος εἶπε πρὸς με, Υἱός μου εἶ σύ, ἐγὼ σήμερον γεγέννηκά σε.
***Στίχ.*** **Α**ἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη τὴν κληρονομίαν σου.
Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα ***(Κεφ. 1, 1-14 & 2, 1-3)***
**Π**ολυμερῶς καὶ πολυτρόπως …
***Εὐαγγέλιον ἐκ τοῦ κατὰ Λουκᾶν***

**……………………………………………….**

***[ ΟΤΑΝ ΤΑ ΧΡΙΣΤΟΥΓΕΝΝΑ ΔΕΝ «ΠΕΣΟΥΝ» ΚΥΡΙΑΚΗ Ή ΔΕΥΤΕΡΑ ΑΚΟΛΟΥΘΕΙ Η ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ ΤΟΥ Μ. ΒΑΣΙΛΕΙΟΥ…Είς τό· Ἐξαιρέτως …τὸ Μέγα Μεγαλυνάριον , Ἐμμελής ἀπαγγελία είς τὸ κλιτὸν ὑπὸ τοῦ Ἀναγνώστου***
Ἐπὶ σοὶ χαίρει, Κεχαριτωμένη, πᾶσα ἡ κτίσις, Ἀγγέλων τὸ σύστημα, καὶ ἀνθρώπων τὸ γένος· ἡγιασμένε ναέ, καὶ Παράδεισε λογικέ, παρθενικὸν καύχημα, ἐξ ἧς Θεός ἐσαρκώθη, καὶ παιδίον γέγονεν, ὁ πρὸ αἰώνων ὑπάρχων Θεὸς ἡμῶν. ***ὁ α' χορός, Ἦχος α' ἐκ τοῦ Κε.*** Τὴν γὰρ σὴν μήτραν, θρόνον ἐποίησε, καὶ τὴν σὴν γαστέρα, πλατυτέραν οὐρανῶν ἀπειργάσατο. Ἐπὶ σοὶ χαίρει Κεχαριτωμένη, πᾶσα ἡ κτίσις, δόξα σοι. ***κοινωνικόν:*** **αινειτε τον Κύριον εκ των ουρανων, αλληλούια…Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν…]**

**Σάββατον, 24-12, ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ, ΑΝΤΙΦΩΝΑ (τῶν Κυριακῶν - ή καθημερινων), Ἀντίφωνον Α', Ἦχος β΄.Στίχ.**
Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, ,,,
***Ἀντίφωνον Γ',*** **ὁ α' χορός,Στίχ**.
**Ὁ** Θεὸς ἀπὸ Θαιμὰν ἥξει καὶ ὁ ἅγιος ἐξ ὄρους κατασκίου δασέος.
**Ἀπολυτίκιον, Προεόρτιον**, **Ἦχος δ' Κατεπλάγη Ἰωσὴφ**
**Ἀ**πεγράφετο ποτέ, σὺν τῷ πρεσβύτῃ Ἰωσήφ, ὡς ἐκ σπέρματος Δαυΐδ, ἐν Βηθλεὲμ ἡ Μαριάμ, κυοφοροῦσα τὴν ἄσπορον κυοφορίαν. Ἐπέστη δὲ καιρὸς ὁ τῆς Γεννήσεως, καὶ τόπος ἦν οὐδεὶς τῷ καταλύματι· ἀλλ' ὡς τερπνὸν παλάτιον τὸ Σπήλαιον, τῇ Βασιλίδι ἐδείκνυτο. Χριστὸς γεννᾶται τὴν πρὶν πεσοῦσαν, ἀναστήσων εἰκόνα.
**ὁ β' χορός**,**Στίχ.**

**Κ**ύριε εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην κατενόησα τὰ ἔργα σου.
**Ἀ**πεγράφετο ποτέ...
***Εἰσοδικὸνὸ α' χορός****(ψάλλεται ὑπὸ τῶν ἱερουργούντων μόνον ὅταν τελῆται συλλείτουργον)* **Δ**εῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ,σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστὸς...**ὁ β' χορὸς**...**ψ**άλλοντάς σοι, Ἀλληλούϊα.
**ὁ α' χορός,** (ψάλλεται ὑπὸ τῶν ἱερουργούντων μόνον ὅταν τελῆται συλλείτουργον)
**Ἀπολυτίκιον, Προεόρτιον**, **Ἦχος δ' Κατεπλάγη Ἰωσὴφ**
**Ἀ**πεγράφετο ποτέ, σὺν τῷ πρεσβύτῃ Ἰωσήφ,...
**ὁ β' χορὸς**, **Τῆς Ἁγίας** , **Ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον**.
**Τ**ὴν εὐγένειαν ἔργοις καὶ λόγοις δείξασα, τῆς σῆς ψυχῆς φερωνύμως, χαριεστάτη ἀμνάς, τοῦ Κυρίου, Εὐγενία καλλιπάρθενε, ὁσιομάρτυς ἀγλαή, ἡ κοσμήσασα σαυτὴν ἀσκήσει καὶ μαρτυρίῳ, Χριστὸν ἡμῖν καταπέμψαι ἀεὶ δυσώπει θεῖον ἔλεος.
**ὁ α' χορός**, **Τοῦ <u>Ναοῦ</u>**,
***ὁ β' χορόςΚοντάκιον Προεόρτιον Ἦχος γ'***
**Ἡ** Παρθένος σήμερον, τὸν προαιώνιον Λόγον, ἐν Σπηλαίῳ ἔρχεται, ἀποτεκεῖν ἀποῤῥήτως. Χόρευε ἡ οἰκουμένη ἀκουτισθεῖσα, δόξασον μετὰ Ἀγγέλων καὶ τῶν Ποιμένων, βουληθέντα ἐποφθῆναι, Παιδίον νέον, **τὸν πρὸ αἰώνων Θεόν.**
**Τρισάγιον.**, **Ἀπόστολος**, **ΣΑΒΒΑΤΟΝ ΠΡΟ ΤΗΣ ΧΡΙΣΤΟΥ ΓΕΝΝΗΣΕΩΣ**, **Προκείμενον. Ἦχος πλ. β΄**
**Ε**ὐφράνθητε ἐπὶ Κύριον καὶ ἀγαλλιᾶσθε, δίκαιοι.
**Στίχ. Μ**ακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι.
**Πρὸς Γαλάτας Ἐπιστολῆς Παύλου τὸ ᾿Ανάγνωσμα** (Γ':8-12)
**Ἀ**δελφοί, προϊδοῦσα ἡ γραφὴ …
**Ἀ**λληλούϊα **(γ')**
**Εὐαγγέλιον ,Τῷ Σαββάτῳ πρὸ τῶν Χριστουγέννων**
**Ἐκ τοῦ κατὰ Λουκᾶν( ιγ΄19-29)**
**...ὁ α' χορὸς**
**Δ**όξα σοι, Κύριε, δόξα σοι.
***Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Ἱεροῦ Χρυσοστόμου***
**...Κοινωνικὸν**
**Ἀ**γαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ, τοῖς εὐθέσι πρέπει αἴνεσις. **Ἀ**λληλούϊα.

**5-1** ***(εκτός Κυριακης και Δευτέρας τα Θεοφάνεια) Μετά τον Όρθρο, τις Ωρες, ο Εσπερινός και η Θεία Λειτουργία του Μ. Βασιλείου***

… Καὶ κατέβη Νεεμὰν καὶ ἐβαπτίσατο ἐν τῷ Ἰορδάνῃ ἑπτάκις κατὰ τὸ ῥῆμα τοῦ ἀνθρώπου τοῦ Θεοῦ, καὶ ἐπέστρεψεν ἡ σάρξ αὐτοῦ ἐπ' αὐτὸν ὡς παιδαρίου μικροῦ, καὶ ἐκαθαρίσθη.

***ὁ διάκονος:*** **Τ**οῦ Κυρίου δεηθῶμεν. ***ὁ α' χορὸς***, **Κ**ύριε ἐλέησον. ***ὁ ἱερεύς:*** **Ὅ**τι Ἅγιος εἶ ὁ Θεὸς ἡμῶν…

***καὶ ψάλλομεν τὸν Τρισάγιον ὕμνον, καὶ ὁ Ἀπόστολος. Προκείμενον Ἦχος γ'***

**Κ**ύριος φωτισμός μου καὶ Σωτήρ μου.

**Στίχ. Κ**ύριος ὑπερασπιστὴς τῆς ζωῆς μου.

Πρὸς Κορινθίους Α' Ἐπιστολῆς Παύλου ***(Κεφ. 9, 19-27)***

**Ἀ**δελφοί, ἐλεύθερος ὢν ἐκ πάντων, …

***… Καὶ καθεξῆς ἡ θεία Λειτουργία τοῦ Μεγάλου Βασιλείου.*** **Είς τό, Ἐξαιρέτως τὸ Μέγα Μεγαλυνάριον**, **Ἐμμελής ἀπαγγελία είς τὸ κλιτὸν**

**Ἐ**πὶ σοὶ χαίρει, Κεχαριτωμένη, πᾶσα ἡ κτίσις, Ἀγγέλων τὸ σύστημα, καὶ ἀνθρώπων τὸ γένος· ἡγιασμένε ναέ, καὶ Παράδεισε λογικέ, παρθενικὸν καύχημα, ἐξ ἧς Θεός ἐσαρκώθη, καὶ παιδίον γέγονεν, ὁ πρὸ αἰώνων ὑπάρχων Θεὸς ἡμῶν. ***ὁ α' χορός***. ***Ἦχος α' ἐκ τοῦ Κε.*** **Τ**ὴν γὰρ σὴν μήτραν, θρόνον ἐποίησε, καὶ τὴν σὴν γαστέρα, πλατυτέραν οὐρανῶν ἀπειργάσατο. Ἐπὶ σοὶ χαίρει Κεχαριτωμένη, πᾶσα ἡ κτίσις, δόξα σοι.

***…ὁ β' χορός,Κοινωνικὸν,ἦχος β'***

**Α**ἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν. **Ἀ**λληλούϊα.

**5-1, Σάββατον προ των Φώτων,** *ὁ β' χορός , Ἀπολυτίκιον, Προεόρτιον( Παραμονῆς), Ἦχος δ' Κατεπλάγη Ἰωσὴφ*

**Ἀπεστρέφετό ποτέ, ὁ Ἰορδάνης ποταμός, τῇ μηλωτῇ Ἐλισαιέ, ἀναληφθέντος Ἠλιού, καὶ διῃρεῖτο τὰ ὕδατα ἔνθεν καὶ ἔνθεν, καὶ γέγονεν αὐτῷ, ξηρὰ ὁδὸς ἡ ὑγρά, είς τύπον ἀληθῶς τοῦ Βαπτίσματος, δι' οὗ ἡμεῖς τὴν ῥέουσαν, τοῦ βίου διαπερῶμεν διάβασιν, Χριστὸς ἐφάνη, ἐν Ἰορδάνῃ, ἁγιάσαι τὰ ὕδατα.**

**ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ**, Τὰ παρόντα, **ΑΝΤΙΦΩΝΑ ( Τῶν Καθημερινῶν)**, **᾿Αντίφωνον α´, ὁ α' χορός** , **Ἦχος β´. Στίχ. α'.**

**Ἀ**γαθὸν τὸ ἐξομολογεῖσθαι τῷ Κυρίῳ, …

***Ἀντίφωνον Γ',ὁ α' χορός,Στίχ***.

**Δ**ιὰ τοῦτο μνησθήσομαί σου ἐκ γῆς Ἰορδάνου καὶ Ἑρμωνιείμ.

***Ἀπολυτίκιον Προεόρτιον( Παραμονῆς)***, ***Ἦχος δ' Κατεπλάγη Ἰωσὴφ***

**Ἀ**πεστρέφετό ποτέ, ὁ Ἰορδάνης …

**ὁ β' χορός, Στίχ. Ε**ἴδοσάν σε ὕδατα ὁ Θεός, εἴδοσάν σε ὕδατα καὶ ἐφοβήθησαν.

**Ἀ**πεστρέφετό ποτέ, ὁ Ἰορδάνης ποταμός,... **Εἴσοδος.** ***Εἰσοδικὸν, ὁ α' χορός***

**Δ**εῦτε προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, σῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ ἐν Ἁγίοις θαυμαστὸς...**ὁ β' χορὸς**...**ψ**άλλοντάς σοι, Ἀλληλούϊα.

***ὁ α' χορός, Ἀπολυτίκιον, Προεόρτιον( Παραμονῆς), Ἦχος δ' Κατεπλάγη Ἰωσὴφ***

**Ἀ**πεστρέφετό ποτέ, ὁ Ἰορδάνης …

**ὁ β' χορὸς**, **Τοῦ Ναοῦ,** ***ὁ α' χορός***, ***Κοντάκιον Προεόρτιον Ἦχος δ'***, *Ἦχος δ' Ἐπεφάνης σήμερον*

**Ἐ**ν τοῖς ῥείθροις σήμερον τοῦ Ἰορδάνου, γεγονὼς ὁ Κύριος, τῷ Ἰωάννῃ ἐκβοᾷ. Μὴ δειλιάσῃς βαπτίσαι με, σῶσαι γὰρ ἥκω, **Ἀδὰμ τὸν πρωτόπλαστον.**

**Τρισάγιον**, ***Ἀπόστολος (Α'Τιμ. Γ'13-16 Δ'1-5 )***

***Προκείμενον ἦχος πλ.β'.***

**Ε**ὐφράνθητε ἐπὶ Κύριον καὶ ἀγαλλιᾶσθε, δίκαιοι.

**Στίχ. Μ**ακάριοι ὧν ἀφέθησαν αἱ ἀνομίαι.

**Πρὸς Τιμόθεον Α' Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα .**

**Τ**έκνον Τιμόθεε, οἱ καλῶς διακονήσαντες …

***…Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Ἱεροῦ Χρυσοστόμου***. **ὁ β' χορός**, **Κοινωνικὸν**

**Ἀ**γαλλιᾶσθε δίκαιοι ἐν Κυρίῳ τοῖς εὐθέσι πρέπει αἴνεσις. **Ἀ**λληλούϊα. **ἤ**

**Μ**ακάριοι οὓς ἐξελέξω καὶ προσελάβου Κύριε, καὶ τὸ μνημόσυνον αὐτῶν είς γενεὰν καὶ γενεάν. **Ἀ**λληλούϊα.

Μετὰ δὲ τὴν ὀπισθάμβωνον Εὐχήν καὶ τὸ «**Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον...**», ἐξερχόμεθα ἐν τῇ Κολυμβήθρᾳ,...

*Ο ΧΟΡΟΣ ΤΗΝ ΩΡΑ ΤΟΥ ΚΟΙΝΩΝΙΚΟΥ, ΣΤΑΣΙΣ ΠΡΩΤΗ, Ἀπὸ Ψαλμὸν 118. Ἦχος πλ. β΄.*

**Ἄμωμοι ἐν ὁδῷ, Ἀλληλούϊα.** Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου. Ἀλληλούϊα.

Ἐπεπόθησεν ἡ ψυχή μου τοῦ ἐπιθυμῆσαι τὰ κρίματά σου ἐν παντὶ καιρῷ. Ἀλληλούϊα.

Ἐνύσταξεν ἡ ψυχή μου ἀπὸ ἀκηδίας, βεβαίωσόν με ἐν τοῖς λόγοις σου. Ἀλληλούϊα.

Κλῖνον τὴν καρδίαν μου είς τὰ μαρτύριά σου, καὶ μὴ είς πλεονεξίαν. Ἀλληλούϊα.

Ἀθυμία κατέσχε με ἀπὸ ἁμαρτωλῶν, τῶν ἐγκαταλιμπανόντων τὸν νόμον σου. Ἀλληλούϊα.

Μέτοχος ἐγώ εἰμι πάντων τῶν φοβουμένων σε, καὶ τῶν φυλασσόντων τὰς ἐντολάς σου. Ἀλληλούϊα.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ἀλληλούϊα.

*ΣΤΑΣΙΣ ΔΕΥΤΕΡΑ, Ἦχος πλ. α΄.*

Αἱ χεῖρες σου ἐποίησάν με καὶ ἔπλασάν με, συνέτισόν με καὶ μαθήσομαι τὰς ἐντολάς σου. Ἐλέησόν με, Κύριε.

Ὅτι ἐγενήθην ὡς ἀσκὸς ἐν πάχνῃ, τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην. Ἐλέησόν με, Κύριε.

Σός εἰμι ἐγώ, σῶσον με, ὅτι τὰ δικαιώματά σου ἐξεζήτησα. Ἐλέησόν με, Κύριε.

Ἀπὸ τῶν κριμάτων σου οὐκ ἐξέκλινα, ὅτι σὺ ἐνομοθέτησάς με. Ἐλέησόν με, Κύριε.

Ἔκλινα τὴν καρδίαν μου, τοῦ ποιῆσαι τὰ δικαιώματά σου εἰς τὸν αἰῶνα δι΄ ἀντάμειψιν. Ἐλέησόν με, Κύριε.

Καιρὸς τοῦ ποιῆσαι τῷ Κυρίῳ, διεσκέδασαν τὸν νόμον σου. Ἐλέησόν με, Κύριε.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ἐλέησόν με, Κύριε, Κύριε.

*ΣΤΑΣΙΣ ΤΡΙΤΗ, Ἦχος πλ. δ΄.*

Καὶ ἐλέησόν με. Ἀλληλούϊα. Ἐπίβλεψον ἐπ΄ ἐμὲ καὶ ἐλέησόν με, κατὰ τὸ κρῖμα τῶν ἀγαπώντων τὸ ὄνομά σου. Ἀλληλούϊα.

Νεώτερος ἐγώ εἰμι, καὶ ἐξουδενωμένος, τὰ δικαιώματά σου οὐκ ἐπελαθόμην. Ἀλληλούϊα.

Τῆς φωνῆς μου ἄκουσον, Κύριε, κατὰ τὸ ἔλεός σου, κατὰ τὸ κρῖμα σου ζῆσόν με. Ἀλληλούϊα.

Ἄρχοντες κατεδίωξάν με δωρεάν, καὶ ἀπὸ τῶν λόγων σου ἐδειλίασεν ἡ καρδία μου. Ἀλληλούϊα.

Ζήσεται ἡ ψυχή μου καὶ αἰνέσει σε, καὶ τὰ κρίματά σου βοηθήσει μοι.

Ἐπλανήθην ὡς πρόβατον ἀπολωλός, ζήτησον τὸν δοῦλον *(τὴν δούλην, τοὺς δούλους σου, τὰς δούλας σου)* σου, ὅτι τὰς ἐντολάς σου οὐκ ἐπελαθόμην.

……………………………………………………

Ἀκολουθία τοῦ Μνημοσύνου εἰς κεκοιμημένους

{ΜΕΤΑ ΤΗΝ ΑΠΟΛΥΣΙ ΤΗΣ Θ. ΛΕΙΤΟΥΓΙΑΣ.*Ἱερεύς·* Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. *Ἀναγνώστης·* Ἀμήν. Τρισάγιον. Δόξα... Καὶ νῦν... Παναγία Τριάς... Κύριε, ἐλέησον (γ΄). Δόξα... Καὶ νῦν... Πάτερ ἡμῶν... Ὅτι Σοῦ ἐστιν…}

……………………………………………………

ΕΥΛΟΓΗΤΑΡΙΑ (ΣΤΗ Θ. ΛΕΙΤΟΥΡΓΙΑ ΜΕΤΑ ΤΟ «ΕΙΗ ΤΟ ΟΝΟΜΑ ΚΥΡΙΟΥ…» )

*Ἦχος πλ. α΄.*

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Τῶν Ἁγίων ὁ χορός, εὗρε πηγὴν τῆς ζωῆς καὶ θύραν Παραδείσου, εὕρω κἀγώ, τὴν ὁδὸν διὰ τῆς μετανοίας· τὸ ἀπολωλὸς πρόβατον ἐγώ είμι· ἀνακάλεσαί με, Σωτήρ, καὶ σῶσόν με.

*(για κεκοιμημένους ιερεις), Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.*

*Οἰ τὸν Ἀμνόν, τοῦ Θεοῦ κυρήξαντες, καὶ σφαγιασθέντες ὥσπερ ἄρνες, καὶ πρὸς ζωὴν τὴν ἀγήρω, Ἅγιοι, καὶ ἀΐδιον μετατεθέντες, τοῦτον ἐκτενῶς, Μάρτυρες, αἰτήσασθε, ὀφλημάτων λύσιν ἡμῖν δωρήσασαθαι.*

*Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.*

*Οἱ τὴν ὁδόν, τὴν στενὴν βαδίσαντες, τεθλιμμένην πάντες οἱ ἐν βίῳ· οἱ τὸν Σταυρόν, ὡς ζυγὸν ἀράμενοι, καὶ ἐμοὶ ἀκολουθήσαντες ἐν πίστει, δεῦτε ἀπολαύετε, ἃ ἡτοίμασα ὑμῖν, βραβεῖα καὶ στέφη τὰ οὐράνια.*

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Ὁ πάλαι μέν, ἐκ μὴ ὄντων πλάσας με, καὶ εἰκόνι σου θείᾳ τιμήσας, παραβάσει ἐντολῆς δὲ πάλιν με ἐπιστρέψας εἰς γῆν ἐξ ἧς ἐλήφθην, εἰς τὸ καθ΄ ὁμοίωσιν ἐπανάγαγε, τὸ ἀρχαῖον κάλλος ἀναμορφώσασθαι.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Εἰκών εἰμι, τῆς ἀῤῥήτου δόξης σου, εἰ καὶ στίγματα φέρω πταισμάτων· οἰκτείρησον τὸ σὸν πλάσμα, Δέσποτα, καὶ καθάρισον σῇ εὐσπλαγχνίᾳ· καὶ τὴν ποθεινὴν πατρίδα παράσχου μοι, Παραδείσου πάλιν ποιῶν πολίτην με.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Ἀνάπαυσον, ὁ Θεὸς *[τὸν δοῦλόν σου, τὴν δούλην σου, τοὺς δούλους σου,]* καὶ κατάταξον *[αὐτὸν, αὐτὴν, αὐτοὺς]* ἐν Παραδείσῳ, ὅπου χοροὶ τῶν Ἁγίων, Κύριε, καὶ οἱ δίκαιοι ἐκλάμψουσιν ὡς φωστῆρες· *[τὸν κεκοιμημένον δοῦλον, τὴν κεκοιμημένην δούλην, τοὺς κεκοιμημένους δούλους σου]* ἀνάπαυσον, παρορῶν *[αὐτοῦ, αὐτῆς, αὐτῶν]* πάντα τὰ ἐγκλήματα.

Δόξα…

Τὸ τριλαμπὲς τῆς μιᾶς Θεότητος, εὐσεβῶς ὑμνήσωμεν βοῶντες· Ἅγιος εἶ, ὁ Πατὴρ ὁ ἄναρχος, ὁ συνάναρχος Υἱὸς καὶ θεῖον Πνεῦμα· φώτισον ἡμᾶς πίστει σοι λατρεύοντας, καὶ τοῦ αἰωνίου πυρὸς ἐξάρπασον.

Καὶ νῦν…

Χαῖρε σεμνή, ἡ Θεὸν σαρκὶ τεκοῦσα, εἰς πάντων σωτηρίαν, δι΄ ἧς γένος τῶν ἀνθρώπων εὕρατο τὴν σωτηρίαν· διὰ σοῦ εὕροιμεν Παράδεισον, Θεοτόκε, ἁγνὴ εὐλογημένη.

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοι ὁ Θεός *(γ΄).* (καὶ ἀνάπαυσον τὸν δοῦλον σου- *τὴν δούλην σου, τοὺς δούλους σου)*

……………………………………………

***ΙΔΙΟΜΕΛΑ, Ἦχος πλ. δ΄.* (Ο ΙΕΡΕΥΣ ΘΥΜΙΑΖΩΝ)**

**Μετὰ** τῶν Ἁγίων ἀνάπαυσον, Χριστέ, τὴν ψυχὴν *(τὰς ψυχὰς) [τοῦ δούλου, τῆς δούλης, τῶν δούλων]* σου· ἔνθα οὐκ ἐστὶ πόνος, οὐ λύπη, οὐ στεναγμός, ἀλλὰ ζωὴ ἀτελεύτητος.}

………………………………..

**Ἀκολουθία τοῦ ΝΕΚΡΩΣΙΜΟΥ ΤΡΙΣΑΓΙΟΥ**

……………………………………………..

***[Ἱερεύς·* Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

**……………………………………………………**

***Ἀναγνώστης·* Ἀμήν. Τρισάγιον. Δόξα… Καὶ νῦν… Παναγία Τριάς… Κύριε, ἐλέησον (γ΄). Δόξα… Καὶ νῦν… Πάτερ ἡμῶν… Ὅτι Σοῦ ἐστιν…] *Καὶ ψάλλουσι τὰ Τροπάρια ταῦτα. Ἦχος δ΄.***

*(ΜΝΗΜΟΣΥΝΟ ΣΤΗ Θ. ΛΕΙΤΟΥΡΓΙΑ, ΕΙΗ ΤΟ ΟΝΟΜΑ ΚΥΡΙΟΥ…)*

Μετὰ πνευμάτων δικαίων τετελειωμένων, τὴν ψυχὴν *(τὰς ψυχὰς) [τοῦ δούλου, τῆς δούλης, τῶν δούλων]* σου, Σῶτερ, ἀνάπαυσον, φυλάττων αὐτὴν (*αὐτὰς*) εἰς τὴν μακαρίαν ζωὴν τὴν παρὰ σοί, φιλάνθρωπε.

Εἰς τὴν κατάπαυσίν σου, Κύριε, ὅπου πάντες οἱ Ἅγιοί σου ἀναπαύονται, ἀνάπαυσον καὶ τὴν ψυχήν *(τὰς ψυχὰς) [τοῦ δούλου, τῆς δούλης, τῶν δούλων]* σου, ὅτι μόνος ὑπάρχεις ἀθάνατος.

Δόξα…Σὺ εἶ ὁ Θεὸς ἡμῶν, ὁ καταβὰς εἰς Ἅδην, καὶ τὰς ὀδύνας λύσας τῶν πεπεδημένων· αὐτὸς καὶ τὴν ψυχὴν *(τὰς ψυχὰς) [τοῦ δούλου, τῆς δούλης, τῶν δούλων]* σου, Σῶτερ, ἀνάπαυσον.

Καὶ νῦν… Ἡ μόνη ἁγνὴ καὶ ἄχραντος Παρθένος, ἡ Θεὸν ἀσπόρως κυήσασα, πρέσβευε τοῦ σωθῆναι τὴν ψυχὴν *(τὰς ψυχὰς) [τοῦ δούλου, τῆς δούλης, τῶν δούλων]* σου.

**………………………………………………….**

*στην Διακαινήσιμο εβδομάδα:* Χριστός ανέστη εκ νεκρων, θανάτω θάνατον πατήσας, και τοις εν τοις μνήμασι, ζωήν χαρισάμενος.(3) Αναστάς ο Ιησους από του τάφου καθώς προειπεν, έδωκεν ημιν την αιώνιον ζωήν και μέγα έλεος.

**…………………………………………..**

*Ἱερεύς (Δ)·* Ἐλέησον ἡμᾶς ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου,…. *Χ.* Κύριε, ἐλέησον……*Δι΄ ἄνδραν·* Αἰωνία σου ἡ μνήμη ἀξιομακάριστε καὶ ἀείμνηστε ἀδελφὲ ἡμῶν *(γ΄).*

**(ΘΥΜΙΑΖΩΝ ΚΑΙ ΨΑΛΤΑ)** Αἰωνία ἡ μνήμη, Αἰωνία ἡ μνήμη, Αἰωνία αὐτοῦ, [αὐτῆς, αὐτῶν] ἡ μνήμη *(γ΄).*

<u>(Τοῦ Κυρίου δεηθῶμεν. *ΑΠΟΛΥΣΙΣ Θ. ΛΕΙΤΟΥΡΓΙΑΣ)*</u>
Ἱερεύς: <u>Δι΄εὐχῶν...</u>Ἀναγνώστης· Ἀμήν.
(*στην Διακαινήσιμο εβδομάδα:*Ι. Χριστός ανέστη εκ νεκρων, θανάτω θάνατον πατήσας, και τοις εν τοις μνήμασι, ζωήν χαρισάμενος. Χ. Αληθως ανέστη ο Κύριος. )

***π. Γ. Θ. https://www.youtube.com/user/KERMENI ή frGe, (βλέπε στις πληροφορίες: τα αρχεια μου -για δωρεάν κατέβασμα-, μπλογκ, facebook)***